This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

HDI
HW 328Y P

Digitized by Google

G139
KE30170

ROBERT TROUP PAINE

TO

HARVARD COLLEGE.

A LEGACY

IN HIS NAME BEING APPLIED

IN PART TO AN ANNUAL INCREASE

OF THE LIBRARY

Received 9 April, 1879.

35-147
40

Digitized by Google

Digitized by Google

Digitized by Google

Ground

SELECTA

EX

POETIS GRÆCIS.

Robert Troup Paine
to
Harvard College

Digitized by Google

Lately published, in one Volume, Quarto,

Usui Academiarum.

SOPHOCLIS TRAGŒDIÆ SEPTEM,
Cum Aldo, Turnebo cæterisque melioris notæ Editionibus collatæ.

ADJICITUR,

INDEX copiosissimus et explanatorius ad SOPHOCLEM: Novum Opus nondum antehac editum.

Also,

ΘΟΥΚΥΔΙΔΟΥ ΠΑΛΑΙΩΝΟΣ, καὶ ΑΥΣΙΟΥ ΛΟΓΟΙ ΕΠΙΤΑΦΙΟΙ; cum Versione etiam, Notis, et Indice. Opus ad Erudiendæ Juventutis gratiam Editum.

SOPHOCLIS Tragœdiæ septem: Nova Versione donatæ, Scholiisq; veteribus illustratæ. Accedunt Notæ perpetuæ et variæ Lectiones, operâ Thomæ Johnson, M. A. 2 vols. 8vo.

SCRIPTORES GRÆCI; sive, Selecta ex Scriptoribus Græcis, *viz.* Herodoto, Thucydide, Xenophonte, Platone, Isocrate et Luciano, cum Versione Latina. Editio nova recognita.

The following Greek Plays, *printed seperately in* Octavo.

EURIPIDIS MEDEA, cum Versione et Notis Viri Eruditiss. SAMUELIS MUSGRAVE, juxta Editionem *Oxonienſ.* Accessere etiam Notæ et Animadversiones Cl. RICHARDI PHIL. BRUNCKII Argentoratensis.

ARISTOPHANIS PLUTUS, Gr. Lat. cum Scholiis Græcis selectis. Editio castigata, et ad usum studiosæ Juventutis accommodata.

SOPHOCLIS PHILOCTETES, Gr. Lat cum Scholiis et Notis. Edidit T. MORELL.

ÆSCHYLI PROMETHEUS vinctus, Gr. Lat. cum variis Lectionibus et Notis. Edidit T. MORELL.

EURIPIDIS HIPPOLYTUS, Gr. Lat. Variis Lectionibus et Notis Editoris accessere Viri Clarissimi JEREMIÆ MARKLAND Emendationes.—Editio altera juxta Editionem *Oxon.*

Printed by T. POTE,——*Sold also at* No. 2, [illegible]e-Court, *Fleet-Street,* London.

Digitized by Google

Mutilated

POETÆ GRÆCI:

SIVE,

SELECTA

EX

HOMERI ODYSS.	SAPPHONE,	EURIPIDE,
HESIODO,	ERINNA,	BACCHYLIDE
THEOCRITO,	MIMNERMO,	CALLISTRATO
CALLIMACHO,	SOLONE,	BIONE,
APOLLONIO,	SIMONIDE,	MOSCHO,
TYRTÆO,	THEOGNIDE,	PINDARO.

Cum vulgata Verſione emendata, ac variis, partim Scoliaſtarum Græcorum, partim Doctorum recentiorum, Notis.

IN USUM

REGIÆ SCHOLÆ ETONENSIS.

Editio nova, recognita et aucta.



ETONÆ,

Excudit T. POTE, Bibliopola et Typographus.

MDCCLXXXIX.

Digitized by Google

~~H 1873~~ 1879. Ohio.
Paine bequest.
~~G 139~~
KE 30170

35-142
40

Digitized by Google

LECTORI.

S.

CUM multi ſint in Poetarum Græcorum numero alii alio in genere præſtantes, quorum opera neque ex inſtituta prælectionum Etonenſium ratione poſſint ediſci omnia, neque tamen propter venuſtatem ſuam debeant penitus prætermitti; idcirco loca quædam inſigniora videbantur libanda ex plurimis, qui aut diſſimilem materiam, aut etiam eandem diſſimili ſcribendi genere optime illuſtrarunt: unde aleretur diſcipulorum ingenium, exerceretur judicium, acueretur imitandi æmulatio, aut, ſi nihil aliud, varietate ſaltem magis teneretur animus. Qui quidem varietatis, quanquam vel ſolus ſit, haudquaquam eſt contemnendus fructus. Eſt vero et alter, longeque

Digitized by Google

que melior, qui ad imitationem pertinet: cum Quinctilianus ipſe non ſuaſerit "uni te alicui, "quem per omnia ſequaris, addicere. Non enim, "qui maxime imitandus, etiam ſolus imitandus. "Ideoque plurium bona ponamus ob oculos, ut "aliud ex alio hæreat, et quo quidque conveniat, "aptemus".

Digitized by Google

	Pag.
Ex Homeri Odyssea.	1
Hesiodo.	40
Theocrito.	53
Callimacho.	121
Apollonio.	158
Tyrtæo.	175
Sapphone.	181
Erinna.	184
Mimnermo.	185
Solone.	186
Simonide.	188
Theognide.	191
Euripide.	194
Bacchylide.	195
Callistrato.	ibid.
Bione.	197
Moscho.	200
Pindaro.	204

Digitized by Google

Digitized by Google

ΕΚ ΤΗΣ ΤΟΥ

ΟΜΗΡΟΥ

ΟΔΥΣΣ.

ΟΜΗΡΟΥ ΟΔΥΣΣ. Α.

Θεῶν ἀγορὰ γίνεται περὶ τῦ τὸν Ὀδυσσέα εἰς Ἰθάκην πεμφθῆναι ἀπὸ τῆς Καλυψῦς νήσυ· μεθ' ἣν ἡ Ἀθηνᾶ εἰς Ἰθάκην παραγίνεται πρὸς Τηλέμαχον.

Ἄνδρα μοι ἔννεπε, Μοῦσα, πολύτροπον, ὃς μάλα πολλὰ
Πλάγχθη, ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσε·
Πολλῶν δ' ἀνθρώπων ἴδεν ἄστεα, καὶ νόον ἔγνω·
Πολλὰ δ' ὅγ' ἐν πόντῳ πάθεν ἄλγεα ὃν κατὰ θυμὸν,
Ἀρνύμενος ἥν τε ψυχὴν καὶ νόστον ἑταίρων·
Ἀλλ' οὐδ' ὣς ἑτάρυς ἐρρύσατο, ἱέμενός περ·
Αὐτῶν γὰρ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο·
Νήπιοι, οἳ κατὰ βοῦς ὑπερίονος Ἠελίοιο
Ἤσθιον· αὐτὰρ ὁ τοῖσιν ἀφείλετο νόστιμον ἦμαρ.
Τῶν ἀμόθεν γε, θεὰ, θύγατερ Διὸς, εἰπὲ καὶ ἡμῖν.

Ἔνθ' ἄλλοι μὲν πάντες, ὅσοι φύγον αἰπὺν ὄλεθρον,
Οἴκοι ἔσαν, πόλεμόν τε πεφευγότες ἠδὲ θάλασσαν·
Τὸν δ' οἶον, νόςȣ κεχρημένον ἠδὲ γυναικὸς,
Νύμφη πότνι' ἔρυκε Καλυψὼ, δῖα θεάων,
Ἐν σπέσσι γλαφυροῖσι, λιλαιομένη πόσιν εἶναι.
Ἀλλ' ὅτε δὴ ἔτος ἦλθε, περιπλομένων ἐνιαυτῶν,
Τῷ οἱ ἐπεκλώσαντο θεοὶ, οἶκόνδε νέεσθαι
Εἰς Ἰθάκην, ȣ̓δ' ἔνθα πεφυγμένος ἦεν ἀέθλων,
Καὶ μετὰ οἷσι φίλοισι· θεοὶ δ' ἐλέαιρον ἅπαντες,
Νόσφι Ποσειδάωνος· ὁ δ' ἀσπερχὲς μενέαινεν
Ἀντιθέῳ Ὀδυσῆϊ, πάρος ἣν γαῖαν ἱκέσθαι.
Ἀλλ' ὁ μὲν Αἰθίοπας μετεκίαθε τηλόθ' ἐόντας,
(Αἰθίοπας, τοὶ διχθὰ δεδαίαται, ἔσχατοι ἀνδρῶν,
Οἱ μὲν δυσομένȣ ὑπερίονος, οἱ δ' ἀνιόντος,)
Ἀντιόων ταύρων τε καὶ ἀρνειῶν ἑκατόμβης.
Ἔνθ' ὅγε τέρπετο δαιτὶ παρήμενος· οἱ δὲ δὴ ἄλλοι
Ζηνὸς ἐνὶ μεγάροισιν Ὀλυμπίȣ ἀθρόοι ἦσαν.
Τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Μνήσατο γὰρ κατὰ θυμὸν ἀμύμονος Αἰγίσθοιο,
Τόν ῥ' Ἀγαμεμνονίδης τηλεκλυτὸς ἔκταν' Ὀρέςης·
Τȣ̃ ὅγ' ἐπιμνησθεὶς, ἔπε' ἀθανάτοισι μετηύδα·
Ὦ πόποι, οἷον δή νυ θεȣ̀ς βροτοὶ αἰτιόωνται!
Ἐξ ἡμέων γὰρ φασι κάκ' ἔμμεναι· οἱ δὲ καὶ αὐτοὶ
Σφῇσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχȣσιν.
Ὡς καὶ νῦν Αἴγισθος ὑπὲρ μόρον Ἀτρείδαο
Γῆμ' ἄλοχον μνηςὴν, τὸν δ' ἔκτανε νοςήσαντα,
Εἰδὼς αἰπὺν ὄλεθρον, ἐπεὶ πρό οἱ εἴπομεν ἡμεῖς,

Ἑρμείαν

Ἑρμείαν πέμψαντες εὔσκοπον Ἀργειφόντην,
Μήτ' αὐτὸν κτείνειν, μήτε μνάασθαι ἄκοιτιν·
Ἐκ γὰρ Ὀρέσαο τίσις ἔσσεται Ἀτρείδαο,
Ὁππότ' ἂν ἡβήσῃ τε καὶ ἧς ἱμείρεται αἴης.
Ὣς ἔφαθ' Ἑρμείας. ἀλλ' οὐ φρένας Αἰγίσθοιο
Πείθ' ἀγαθὰ φρονέων· νῦν δ' ἀθρόα πάντ' ἀπέτισε.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
Ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων,
Καὶ λίην κεῖνός γε ἐοικότι κεῖται ὀλέθρῳ·
Ὣς ἀπόλοιτο καὶ ἄλλος, ὅτις τοιαῦτά γε ῥέζοι·
Ἀλλά μοι ἀμφ' Ὀδυσῆϊ δαΐφρονι δαίεται ἦτορ,
Δυσμόρῳ, ὃς δὴ δηθὰ φίλων ἄπο πήματα πάσχει,
Νήσῳ ἐν ἀμφιρύτῃ, ὅθι τ' ὀμφαλός ἐστι θαλάσσης,
Νῆσος δενδρήεσσα, θεὰ δ' ἐν δώμασι ναίει
Ἄτλαντος θυγάτηρ ὀλοόφρονος, ὅστε θαλάσσης
Πάσης βένθεα οἶδεν, ἔχει δέ τε κίονας αὐτὸς
Μακρὰς, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσι·
Τοῦ θυγάτηρ δύστηνον ὀδυρόμενον κατερύκει·
Αἰεὶ δὲ μαλακοῖσι καὶ αἱμυλίοισι λόγοισι
Θέλγει, ὅπως Ἰθάκης ἐπιλήσεται· αὐτὰρ Ὀδυσσεὺς,
Ἱέμενος καὶ καπνὸν ἀποθρώσκοντα νοῆσαι
Ἧς γαίης, θανέειν ἱμείρεται· οὐδέ νυ σοί περ
Ἐντρέπεται φίλον ἦτορ, Ὀλύμπιε· οὔ νύ τ' Ὀδυσσεὺς
Ἀργείων παρὰ νηυσὶ χαρίζετο ἱερὰ ῥέζων,
Τροίῃ ἐν εὐρείῃ; τί νύ οἱ τόσον ὠδύσαο, Ζεῦ;
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Τέκνον ἐμὸν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;

Πῶς ἂν ἔπειτ' Ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην;
Ὃς περὶ μὲν νόον ἐσὶ βροτῶν, περὶ δ' ἱρὰ θεοῖσιν
Ἀθανάτοισιν ἔδωκε, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν;
Ἀλλὰ Ποσειδάων γαιήοχος ἀσκελὲς αἰεὶ
Κύκλωπος κεχόλωται, ὃν ὀφθαλμῷ ἀλάωσεν,
Ἀντίθεον Πολύφημον, ὅου κράτος ἐσὶ μέγιστον
Πᾶσιν Κυκλώπεσσι· Θόωσα δέ μιν τέκε νύμφη,
Φόρκυνος θυγάτηρ, ἁλὸς ἀτρυγέτοιο μέδοντος.
Ἐκ τοῦ δὴ Ὀδυσῆα Ποσειδάων ἐνοσίχθων
Οὔτι καθαπλείνει, πλάζει δ' ἀπὸ πατρίδος αἴης.
Ἀλλ' ἄγεθ', ἡμεῖς οἵδε περιφραζώμεθα πάντες
Νόστον, ὅπως ἔλθῃσι· Ποσειδάων δὲ μεθήσει
Ὃν χόλον· ἐ μὲν γάρ τι δυνήσεται ἀντία πάντων,
Ἀθανάτων ἄεκητι θεῶν, ἐριδαινέμεν οἷος.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
Ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων,
Εἰ μὲν δὴ νῦν τοῦτο φίλον μακάρεσσι θεοῖσι,
Νοσῆσαι Ὀδυσῆα δαΐφρονα ὅνδε δόμονδε,
Ἑρμείαν μὲν ἔπειτα διάκτορον Ἀργειφόντην
Νῆσον ἐς Ὠγυγίην ὀτρύνομεν, ὄφρα τάχιστα
Νύμφῃ εὐπλοκάμῳ εἴπῃ νημερτέα βουλὴν,
Νόστον Ὀδυσσῆος ταλασίφρονος, ὥς κε νέηται.
Αὐτὰρ ἐγὼν Ἰθάκηνδ' ἐσελεύσομαι, ὄφρα οἱ υἱὸν
Μᾶλλον ἐποτρύνω, καί οἱ μένος ἐν φρεσὶ θείω,
Εἰς ἀγορὴν καλέσαντα καρηκομόωντας Ἀχαιοὺς,
Πᾶσι μνηστῆρεσσιν ἀπειπέμεν, οἵτε οἱ αἰεὶ
Μῆλ' ἀδινὰ σφάζουσι, καὶ εἰλίποδας ἕλικας βοῦς.

Πέμψω

Πέμψω δ' ἐς Σπάρτην τε καὶ ἐς Πύλον ἠμαθόεντα,
Νόςον πευσόμενον πατρὸς φίλυ, ἤν πυ ἀκύσῃ·
Ἠδ' ἵνα μιν κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἔχῃσιν.

ΟΜΗΡΟΥ ΟΔΥΣΣ. Δ.

Τηλεμάχῳ, τὸν πατέρα αὐτῦ ἐν Σπάρτῃ ζητῦντι, ἐξηγησάμενος ὁ Μενέλαος περὶ τῦ νόςυ τῶν Ἑλλήνων, καὶ τῆς αὐτῦ ἐν Κύπρῳ καὶ Αἰγυπτῳ ἀποδημίας, εἶτα λέγει τοίαδε.

Ἕως ἐγὼ περὶ κεῖνα πολὺν βίοτον συναγείρων
Ἠλώμην, τείως μοὶ ἀδελφεὸν ἄλλος ἔπεφνε,
Λάθρη, ἀνωϊςὶ, δόλῳ ὀλομένης ἀλόχοιο·
Ὣς ὄ τοι χαίρων τοῖσδε κτεάτεσσιν ἀνάσσω.
Ὧν ὄφελον τριτάτην περ ἔχων ἐν δώμασι μοῖραν
Ναίειν, οἱ δ' ἄνδρες σόοι ἔμμεναι, οἳ τότ' ὄλοντο
Τροίῃ ἐν εὐρείῃ, ἑκὰς Ἀργεος ἱπποβότοιο.
Ἀλλ' ἔμπης πάντας μὲν ὀδυρόμενος καὶ ἀχεύων,
Πολλάκις ἐν μεγάροισι καθήμενος ἡμετεροισιν,
Ἀλλοτε μέν τε γόῳ φρένα τέρπομαι, ἄλλοτε δ' αὖτε
Παύομαι· αἰψηρὸς δὲ κόρος κρυεροῖο γόοιο.
Τῶν πάντων ὀ τόσσον ὀδύρομαι, ἀχνύμενός περ

V. 1.] Enunciabatur ἕως ἐγὼ, ac si scriptum fuisset, ὦσε ἐγὼ, vel ὦς ἠγώ. Sic ἕως ὁ pronunciabatur raptim legentibus sicut ὥσω vel ὥσεο. Clark. Nihili est quod dicit Barnesius, Amphibrachyn pro Dactylo poni, quasi ἰσοδύναμον. Non omnes pedes ἰσόχρονοι sunt ἰσοδύναμοι.

Ὡς

Ὡς ἑνὸς, ὅςε μοι ὕπνον ἀπεχθαίρει καὶ ἐδωδὴν
Μνωομένῳ· ἐπεὶ ὄτις Ἀχαιῶν τόσσ' ἐμόγησεν,
Ὅσσ' Ὀδυσεῦς ἐμόγησε καὶ ᾔρατο· τῷ δ' ἄρ' ἔμελλεν
Αὐτῷ κήδε' ἔσεσθαι, ἐμοὶ δ' ἄχος αἰὲν ἄλαςον
Κείνυ, ὅπως δὴ δηρὸν ἀποίχεται· ὐδέ τι ἴδμεν
Ζώει ὅγ', ἢ τέθνηκεν· ὀδύρονται νύ πυ αὐτὸν
Λαέρτης θ' ὁ γέρων καὶ ἐχέφρων Πηνελόπεια,
Τελέμαχός θ', ὃν ἔλειπε νέον γεγαῶτ' ἐνὶ οἴκῳ.
Ὣς φάτο· τῷ δ' ἄρα πατρὸς ὑφ' ἵμερον ὦρσε γόοιο,
Δάκρυ δ' ἀπὸ βλεφάρων χαμάδις βάλε, πατρὸς ἀκύσας,
Χλαῖναν πορφυρέην ἀντ' ὀφθαλμοῖϊν ἀνασχὼν
Ἀμφοτέρῃσιν χερσι· νόησε δέ μιν Μενέλαος·
Μερμήριξε δ' ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν,
Ἠέ μιν αὐτὸν πατρὸς ἐάσειε μνησθῆναι,
Ἢ πρῶτ' ἐξερέοιτο, ἕκαςα τε μυθήσαιτο.
Ἕως ὅ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμὸν,
Ἐκ δ' Ἑλένη θαλάμοιο θυώδεος ὑψορόφοιο
Ἠλύθεν, Ἀρτέμιδι χρυσηλακάτῳ εἰκυῖα·
Ἕζετο δ' ἐν κλισμῷ, ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν·
Αὐτίκα δ' ἥγ' ἐπέεσσι πόσιν ἐρέεινεν ἕκαςα.
Ἴδμεν δὴ, Μενέλαε διοτρεφὲς, οἵτινες οἵδε
Ἀνδρῶν εὐχετόωνται ἱκανέμεν ἡμετερον δῶ;
Ψεύσομαι, ἢν ἔτυμον ἐρέω; κέλεται δέ με θυμος·
Οὐ γάρ πω τινά φημί ἐοικότα ὧδε ἰδέσθαι

V. 13. ἀπεχθ.] Εἰς μῖσος ἄγει. Schol.

V. 15. ᾔρατο.] Τὸ δὲ Ἤρατο ὐ μόνον ἀντὶ τῦ Ὑπέμεινε καὶ Ἐβάςασεν οἱ παλαιοὶ νοῦσιν, ἀλλὰ καὶ ἀντὶ τῦ Ἐπολέμησε φασιν. Eust.

Ὡς

Οὐτ' ἄνδρ' ὔτε γυναῖκα (σέβας μ' ἔχει εἰσορόωσαν)
Ὡς ὅδ' Ὀδυσσῆος μεγαλήτορος υἷϊ ἐοικε.
Τηλεμάχῳ, τὸν ἔλειπε νέον γεγαῶτ' ἐνὶ οἴκῳ
Κεῖνος ἀνήρ, ὅτ' ἐμεῖο κυνώπιδος εἵνεκ', Ἀχαιοὶ
Ἦλθεθ' ὑπὸ Τροίην πόλεμον θρασύν ὁρμαίνοντες.
Τὴν δ' ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος.
Οὕτω νῦν καὶ ἐγὼ νοέω, γύναι, ὡς σὺ ἐείσκεις·
Κείνε γὰρ τοιοίδε πόδες, τοιαίδε τε χεῖρες,
Ὀφθαλμῶν τε βολαὶ, κεφάλη τ', ἐφύπερθέ τε χαῖται.
Καὶ νῦν ἤτοι ἐγὼ μεμνημένος ἀμφ' Ὀδυσῆϊ,
Μυθεόμην ὅσα κεῖνος ὀϊζύσας ἐμόγησεν
Ἀμφ' ἐμοί· αὐτὰρ ὁ πικρὸν ὑπ' ὀφρύσι δάκρυον εἶβε,
Χλαῖναν πορφυρέην ἀντ' ὀφθαλμοῖϊν ἀνασχών.
Τὸν δ' αὖ Νεσορίδης Πεισίστρατος ἀντίον ἤυδα.
Ἀτρεΐδη Μενέλαε διοτρεφὲς, ὄρχαμε λαῶν,
Κείνε μέντοι ὅδ' υἱὸς ἐτήτυμον, ὡς ἀγορεύεις.
Τὸν δ' ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος.
Ὦ πόποι, ἦ μάλα δὴ φίλε ἄνερος υἱὸς ἐμὸν δῶ
Ἵκεθ', ὃς εἵνεκ' ἐμεῖο πολεῖς ἐμόγησεν ἀέθλως.
Καί μιν ἔφην ἐλθόντα φιλησέμεν ἔξοχον ἄλλων
Ἀργείων, εἰ νῶϊν ὑπείρ ἅλα νόσον ἔδωκε
Νηυσὶ θοῇσι γενέσθαι Ὀλύμπιος εὐρύοπα Ζεύς.

V. 44.] Sic oculos, sic ille manus, sic ora ferebat. Virg. Æn. iii. 490.

V. 59.] Ισίον δὲ ὅτι Ἄργος κάνταῦθα φησὶν, ἢ τὴν Πελοπόνησον, ἢ καὶ τὴν ὑπὸ τῷ Μενελάῳ χώραν· τὸ δὲ, νάσσας, ἀντὶ τοῦ κατῴκισας. Οὐ γὰρ "ναίω" μόνον, ἀλλὰ καὶ "νάω," ὅθεν καὶ "ναέτης" ὁ ἔγκάτοικος. Eust.

Καὶ

Καὶ πέν οἱ Ἀργεῖ νάσσα πόλιν καὶ δώματ' ἔτευξα,
Ἐξ Ἰθάκης ἀγαγὰν σὺν κλήρωσι καὶ τέκεϊ ᾧ,
Καὶ πᾶσιν λαοῖσι, μίαν πόλιν ἐξαλαπάξας,
Αἳ περιναιετάουσιν, ἀνάσσεσθαι δ' ἐμοὶ αὐτῷ·
Καί κε θαμὰ ἐνθάδ' ἐόντες ἀμισγόμεθ'· οὐδέ κεν ἡμέας
Ἄλλο διέκρινεν φιλέοντέ τε τερπομένω τε,
Πρίν γ' ὅτε δὴ θανάτοιο μέλαν νέφος ἀμφεκάλυψεν.
Ἀλλὰ τὰ μέν πε μέλλεν ἀγάσσεσθαι θεὸς αὐτὸς,
Ὅς κεῖνον δύσηνον ἀνόσιμον οἷον ἔθηκεν.
Ὣς φάτο· τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο.
Κλαῖε μὲν Ἀργείη Ἑλένη Διὸς ἐκγεγαυῖα,
Κλαῖε δὲ Τηλέμαχός τε καὶ Ἀτρεΐδης Μενέλαος,
Οὐδ' ἄρα Νέστορος υἱὸς ἀδακρύτω ἔχεν ὄσσε.
Μνήσατο γὰρ κατὰ θυμὸν ἀμύμονος Ἀντιλόχοιο,
Τόν ῥ' Ἠὼς ἔκτεινε φαεινῆς ἀγλαὸς υἱός.

V. 60. τίκτει ᾧ] ᾧ hoc unum eſt ex plurimis apud Homerum verbis quibus Æolicum Digamma F (quod Romanæ conſonanti V. Anglicæ W poteſtate reſpondet) præfigendum videtur: cujus quidem ea eſt natura, ut ſive initio vocum præficiatur, ſive mediis interſeratur, vocalem brevem proxime præcedentem poſſit producere. Qua de re fuſe ac ingenioſe differit in Miſcell. Crit. Ric. Dawes; qui per hanc Æolicam literam metrum Homericum longe melius quam Clarkius explicat.

V. 61. ἐξαλαπάξας] Μίαν ἡσας τὰς ἀνοικοῦντας εἰς ἕτερον τόπον. Schol.

Digitized by Google

ΟΔΥΣΣΕΙΑΣ.

Ζεὺς Ἑρμῆν πέμπει ἐπὶ Καλυψὼ, κελεύων ἀποπέμπειν τὸν Ὀδυσσέα.

Ὣς ἔφατ'· οὐδ' ἀπίθησε διάκτορος Ἀργεϊφόντης·
Αὐτίκ' ἔπειθ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα,
Ἀμβρόσια, χρύσεια· τά μιν φέρον ἠμὲν ἐφ' ὑγρὴν,
Ἠδ' ἐπ' ἀπείρονα γαῖαν, ἅμα πνοιῇς ἀνέμοιο·
Εἵλετο δὲ ῥάβδον, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει,
Ὧν ἐθέλει· τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει.
Τὴν μετὰ χερσὶν ἔχων πέτετο κραιὺς Ἀργεϊφόντης.

V. 1.] —Dixerat: ille patris magni parere parabat
Imperio: et primùm pedibus talaria nectit
Aurea, quæ sublimem alis, sive æquora suprà,
Seu terram, rapido pariter cum flamine portant.
Æn. iv. 238.

V. 5.] Tum virgam capit: hâc animas ille evocat Orco
Pallentes, alias sub tristia Tartara mittit:
Dat somnos adimitque, et lumina morte resignat.
Æn. iv. 242.

λόγου ἀθροότητα ποητίον τὴν τοῦ Ἑρμοῦ ῥάβδον, ὅτι ψυχὰς μὲν τεταραγμένας παύειν, ἐκλελυμένας δὲ διεγείρειν. Schol. Similiter Eustathius virgæ hujus vim ad eloquentiam refert. Aliter hunc locum interpretatus videtur Virgilius, qui in versibus præcedentibus hæc de Mercurio, ut ψυχαγωγῷ, dicit.

V. 7.] Illâ fretus agit ventos, et turbida tranat
Nubila. Æn. iv. 245.

Πιερίην δ' ἐπιβὰς, ἐξ αἰθέρος ἔμπεσε πόντῳ.
Σεύατ' ἔπειτ' ἔπὶ κῦμα, Λάρῳ ὄρνιθι ἐοικὼς,
Ὅσσε παλὰ δεινὺς κόλπυς ἁλὸς ἀτρυγέτοιο,
Ἰχθῦς ἀγρώσσων, πυκινὰ πτερὰ δεύεται ἅλμῃ·
Τῷ ἴκελος πολέεσσιν ὀχήσατο κύμασιν Ἑρμῆς·
Ἀλλ' ὅτε δὴ τὴν νῆσον ἀφίκετο τηλόθ' ἐοῦσαν,
Ἔνθ' ἐκ πόντου βὰς ἰοειδέος, ἤπειρόνδε
Ἤιεν· ὄφρα μέγα σπέος ἵκετο, τῷ ἔνι Νύμφη
Ναίεν εὐπλόκαμος· τὴν δ' ἔνδοθι τέτμεν ἐοῦσαν·
Πῦρ μὲν ἐπ' ἐσχαρόφιν μέγα καίετο, τηλόθι δ' ὀδμὴ
Κέδρυ τ' εὐκεάτοιο, θύυ τ' ἀνὰ νῆσον ὀδώδει
Δαιομένων· ἡ δ' ἔνδον ἀοιδιάουσ' ὀπὶ καλῇ,
Ἰσὸν ἐποιχομένη, χρυσείῃ κερκίδ' ὕφαινεν.
Ὕλη δὲ σπέος ἀμφιπεφύκει τηλεθόωσα,
Κλήθρη τ', αἴγειρός τε, καὶ εὐώδης κυπάρισσος.
Ἔνθα δὲ τ' ὄρνιθες τανυσίπτεροι εὐνάζοντο,

V. 8.] Hic primum paribus nitens Cyllenius alis
Conſtitit; hinc toto præceps ſe corpore ad undas
Miſit; avi ſimilis, quæ circum litora, circum
Piſcoſos ſcopulos, humilis volat æquora juxta.
Æn. iv. 252.

Ibid.] Πιερία, ὄρος Μακεδονίας, ἱερὸν Μουσῶν. Schol.

V. 9. Λάρῳ ὄρνιθι ἐοικὼς] Τὴν ὁρμὴν, ὡ τὸ σῶμα. Λάρος δὲ ὄρνεον θαλάσσιον. Schol.

V. 10.] ἀτρυγέτοιο] Ἀκαλαπονήτου, πολλῆς· ἢ ὡς ἔνιοι φασὶ, τῆς ἀκάρπου. Schol. in Iliad. α. 316.

V. 15, &c.] Proxima Circææ raduntur litora terræ,
Dives inacceſſos ubi Solis filia lucos
Aſſiduo reſonat cantu, tectiſque ſuperbis
Urit odoratam nocturna in lumina cedrum,
Arguto tenues percurrens pectine telas. Æn. vii. 10.

Σκῶπές

Σκῶπές τ' ἰρηκές τε, ταυύγλωσσοί τε κορῶναι
Εἰνάλιαι, τῆσίν τε θαλάσσια ἔργα μέμηλεν.
Ἡ δ' αὐτῆ τετάνυσο περί σπείους γλαφυροῖο
Ἡμερὶς ἠϐώωσα, τεθήλει δὲ ϛαφυλῆσι·
Κρῆναι δ' ἐξείης πίσυρες ῥέον ὕδαϛι λευκῷ,
Πλησίαι ἀλλήλων, τέτραμμέναι ἄλλυδις ἄλλη·
Ἀμφὶ δὲ λειμῶνες μαλακοὶ ἴυ ἠδὲ σελίνῳ
Θήλεον· ἔνθα κ' ἔπειτα καὶ ἀθάνατός περ ἐπελθὼν
Θηήσαιτο ἰδὼν, καὶ τερφθείη φρεσὶν ἦσιν·
Ἔνθα ϛὰς θηεῖτο διάκτορος Ἀργειφόντης.
Αὐτάρ ἐπειδὴ πάντα ἐῷ θηήσαιτο θυμῷ,
Αὐτίκ' ἄρ' εἰς εὐρὺ σπέος ἤλυθεν· οὐδέ μιν ἄντην
Ἠγνοίησεν ἰδυῖα Καλυψὼ δῖα θεάων.
Οὐδ' ἄρ' Ὀδυσσῆα μεγαλήτορα ἔνδον ἔτέτμεν·
Ἀλλ' ὅγ' ἐπ' ἀκτῆς κλαῖε καθήμενος· ἔνθα πάρος περ
Δάκρυσι καὶ ϛοναχῇσι καὶ ἄλγεσι θυμὸν ἐρέχθων,
Πόντον ἐπ' ἀτρύγετον δερκέσκετο, δάκρυα λείϐων.
Ἑρμείαν δ' ἐρέεινε Καλυψὼ δῖα θεάων,
Ἐν θρόνῳ ἱδρύσασα φαεινῷ σιγαλόεντι·

V. 42. *Σιγαλόεντι.*] Hanc vocem multi interpretantur, *admirandus*, quasi deducta sit a Σιγὴ, et tacitam quandam admirationem significet. Exponit hoc in loco Eustathius, ὁ ποικίλος διὰ τὸ καλῶς σιγμένος εἶναι. Quod valde favet conjecturæ cl. Taylori, qui in Lect. Lysiac. p. 303. ita scribit, "vexatissima ista ῥήγεα vel ἠνία, "εἴμαλα, δέσματα ΣΙΓΑΛΟΕΝΤΑ, quæ passim apud Homerum le- "guntur, emendari jubeo semper ΣιFαλοFεντα. Qui a Σιγὴ de- "ducunt, vel potius cogunt, operam ludunt. Σιαλῶσαι apud "Hesychium est ποικίλαι. Rectè igitur Σιγαλόεν (corrupte Γ pro "F) exponitur ab eodem, ποικίλον τῇ γραφῇ λαμπρόν, &c. Σιγαλό- "εντα, λάμπρα, ποικίλα, καὶ τὰ ὅμοια."

Digitized by Google

Ἐνθ' ἄρα μιν προσέειπε διάκτορος Ἀργειφόντης·
Ζεὺς ἐμὲ ἠνώγει δεῦρ' ἐλθέμεν οὐκ ἐθέλοντα.
Φησί τοι ἄνδρα παρεῖναι ὀϊζυρώτατον ἄλλων
Τῶν ἀνδρῶν, οἳ ἄσυ περὶ Πριάμοιο μάχονται
Εἰνάετες, δεκάτῳ δὲ πόλιν πέρσαντες ἔβησαν
Οἶκαδ'· ἀτὰρ ἐν νόῳ Ἀθηναίην ἀλίτοντο,
Ἣ σφιν ἐπῶρσ' ἄνεμόν τε κακὸν καὶ κύματα μακρά·
Ἐνθ' ἄλλοι μὲν πάντες ἀπέφθιθον ἐσθλοὶ ἑταῖροι,
Τὸν δ' ἄρα δεῦρ' ἄνεμός τε φέρων καὶ κῦμα πέλασσεν.
Τὸν νῦν σ' ἠνώγει ἀποπεμπέμεν ὅ,τι τάχιστα.
Οὐ γάρ οἱ τῆδ' αἶσα φίλων ἄπο νόσφιν ἑλέσθαι
Ἀλλ' ἔτι οἱ μοῖρ' ἔστι φίλους τ' ἰδέειν, καὶ ἱκέσθαι
Οἶκον ἐς ὑψόροφον, καὶ ἐὴν ἐς πατρίδα γαῖαν.
Ὣς φάτο· ῥίγησεν δὲ Καλυψὼ δῖα θεάων,
Καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα.
Τὸν μὲν ἐγὼν ἐσάωσα περὶ τρόπις βεβαῶτα
Οἶον· ἐπεὶ οἱ νῆα θοὴν ἀργῆτι κεραυνῷ
Ζεὺς ἔλασας ἐκέασσε μέσῳ ἐνὶ οἴνοπι πόντῳ.
Ἐνθ' ἄλλοι μὲν πάντες ἀπέφθιθον ἐσθλοὶ ἑταῖροι,
Τὸν δ' ἄρα δεῦρ' ἄνεμός τε φέρων καὶ κῦμα πέλασσε.
Τὸν μὲν ἐγὼ φίλεόν τε καὶ ἔτρεφον, ἠδὲ ἔφασκον
Θήσειν ἀθάνατον καὶ ἀγήραον ἤματα πάντα.
Ἀλλ' ἐπεὶ οὔπως ἔστι Διὸς νόον Αἰγιόχοιο
Οὔτε παρεξ ἐλθεῖν ἄλλον θεόν, ὅδ' ἀλιῶσαι,
Ἐρρέτω, εἴ μιν κεῖνος ἐπῳρύει καὶ ἀνώγει,
Πόντον ἐπ' ἀτρύγετον· πέμψω δὲ μιν οὔπη ἔγώγε,
Οὐ γάρ μοι πάρα νῆες ἐπήρετμοι, καὶ ἑταῖροι,

Οἱ

Οἱ κέν μιν πέμποιεν ἐπ' εὐρέα νῶτα θαλάσσης.
Αὐτάρ οἱ πρόφρων ὑποθήσομαι, ὐδ' ἐπικεύσω,
Ὥς κε μάλ' ἀσκηθὴς ἣν πατρίδα γαῖαν ἱκῆαι.
Ἡ δ' ἐπ' Ὀδυσσῆα μεγαλήτορα πότνια Νύμφη
Ἤϊε, ἐπειδὴ Ζηνὸς ἐπέκλυεν ἀγγελιάων.
Τὸν δ' ἄρ' ἐπ' ἀκλῆς εὗρε καθήμενον· ὐδέ ποτ' ὄσσε
Δακρυόφιν τέρσενθο, κατείβετο δὲ γλυκὺς αἰὼν
Νόσον ὀδυρομένῳ, ἐπεὶ ὐκέτι ἥνδανε Νύμφη.
Ἀλλ' ἤτοι νύκτας μὲν ἰαύεσκεν καὶ ἀνάγκῃ
Ἐν σπέσσι γλαφυροῖσι παρ' ὐκ ἐθέλων ἐθελούσῃ.
Ἤμαθα δ' ἐν πέτρῃσι καὶ ἠϊόνεσσι καθίζων,
Δάκρυσι καὶ στοναχῇσι καὶ ἄλγεσι θυμὸν ἐρέχθων
Πόντον ἐπ' ἀτρύγετον δερκέσκετο, δάκρυα λείβων.
Ἀγχοῦ δ' ἰσαμένη προσεφώνεε δῖα θεάων.
Κάμμορε, μή μοι ἔτ' ἐνθάδ' ὀδύρεο, μηδέ τοι αἰὼν
Φθινέτω· ἤδη γάρ σε μάλα πρόφρασσ' ἀποπέμψω.
Ὡς φάτο· ῥίγησεν δὲ πολύτλας δῖος Ὀδυσσεύς,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα.
Ἄλλο τι δὴ, σὺ θεὰ, τόδε μήδεαι, ὐδέ τι πομπὴν,
Ἣ με κέλεαι σχεδίῃ περάαν μέγα λαῖτμα θαλάσσης,
Δεινόν τ' ἀργαλέον τε· τὸ δ' ὐδ' ἐπὶ νῆες ἔϊσαι
Ὠκύποροι περόωσιν, ἀγαλλόμεναι Διὸς ὄρῳ.
Ὡς ἄρα φώνησεν, μετὰ δ' ἴχνια βαῖνε θεοῖο.
Ἶξον δὲ σπείος γλαφυρὸν θεὸς ἠδὲ καὶ ἀνήρ·
Καί ῥ' ὁ μὲν ἔνθα κάθιζεν ἐπὶ θρόνε, ἔνθεν ἀνέσχη

V. 89. σχιδίῃ] Τὴν εἰκαίως κατασκευασθεῖσαν ναῦν λέγει. Schol.
V. 90. ἔϊσαι] Ἴσαι κατὰ τὰς τοίχας. Schol. ad Odyss. γ'. 10.

Ἑρμείας

Ἑρμείας· Νύμφῃ δ' ἐτίθει πάρα πᾶσαν ἐδωδήν,
Ἔσθειν καὶ πίνειν, οἷα βροτοὶ ἄνδρες ἔδουσιν·
Αὐτὴ δ' ἀντίον ἷζεν Ὀδυσσῆος θείοιο.
Τῇ δὲ πάρ' ἀμβροσίην δμῳαὶ καὶ νέκταρ ἔθηκαν.
Οἱ δ' ἐπ' ὀνείαθ' ἕτοιμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ τάρπησαν ἐδητύος ἠδὲ ποτῆτος,
Τοῖς ἄρα μύθων ἦρχε Καλυψὼ δῖα θεάων.

Διογενὲς Λαερτιάδη πολυμήχαν Ὀδυσσεῦ,
Οὕτω δὴ οἰκόνδε φίλην ἐς πατρίδα γαῖαν
Αὐτίκα νῦν ἐθέλεις ἰέναι; σὺ δὲ χαῖρε καὶ ἔμπης.
Εἶγε μὲν εἰδείης σῇσι φρεσὶν, ὅσσα τοι αἶσα
Κήδε' ἀναπλῆσαι, πρὶν πατρίδα γαῖαν ἱκέσθαι,
Ἐνθάδε αὖθι μένων σὺν ἐμοὶ τόδε δῶμα φυλάσσοις,
Ἀθάνατός τ' εἴης· ἱμειρόμενός περ ἰδέσθαι
Σὴν ἄλοχον, τῆς αἰὲν ἐέλδεαι ἤματα πάντα.
Οὐ μὲν δὴν κείνης γε χερείων εὔχομαι εἶναι,
Οὐ δέμας, οὐδὲ φυήν· ἐπεὶ οὔπως εἰδέ ἔοικεν
Θνητὰς ἀθανάτῃσι δέμας καὶ εἶδος ἐρίζειν.

Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς.

V. 103. ὕτω δὴ] *Siccine ergo revera domum*, &c. Λαμβάνεται δὲ καὶ ἐν παθητικοῖς πολλάκις ὁ σύνδεσμος ὕτος, ὥσπερ ἐπὶ τῆς Καλυψοῦς πρὸς τὸν Ὀδυσσέα "ὕτω δὴ οἰκόνδε". εἰ γὰρ τὸν σύνδεσμον ἐξέλοις, συνεξαιρήσεις καὶ τὸ πάθος. Demetr. Phal. περὶ ἑρμην.

V. 104. ἔμπης] Τὸ Ἔμπης, ὃ καὶ Ἔμπα λέγεται, ἐν τούτῳ τῷ τόπῳ ὁμως σημαίνει. Schol. MSS. apud Barnesium. Est ergo sententia, "Quamvis discedere et me linquere paras, opto tibi nihilominus ut omnia bene cedant." Cl.

Πότνια

Πότνια θεὰ, μή μοι τάδε χώεο· οἶδα καὶ αὐτὸς
Πάντα μάλ', ἕνεκα σεῖο περίφρων Πηνελόπεια
Εἶδος ἀκιδνοτέρη, μέγεθός τ', εἰς ἅντα ἰδέσθαι.
(Ἡ μὲν γὰρ βροτός ἐστι, σὺ δ' ἀθάνατος καὶ ἀγήρως.)
Ἀλλὰ καὶ ὣς ἐθέλω καὶ ἐέλδομαι ἦμαρ ἅπαντα
Οἴκαδέ τ' ἐλθέμεναι, καὶ νόστιμον ἦμαρ ἰδέσθαι.
Εἰ δ' αὖ τις ῥαίῃσι θεῶν ἐνὶ οἴνοπι πόντῳ,
Τλήσομαι, ἐν στήθεσσιν ἔχων ταλαπενθέα θυμόν.
Ἤδη γὰρ μάλα πολλὰ ἔπαθον καὶ πολλὰ ἐμόγησα
Κύμασι καὶ πολέμῳ· μετὰ καὶ τόδε τοῖσι γενέσθω.

Ο Δ Υ Σ Σ. Θ.

Ὀδυσσεὺς παρὰ τῷ Ἀλκινόῳ ἑστώμενος, καὶ Δημοδόκε τὰ τῶν Ἑλλήνων ἀείδοντος ἀκούων, λάθρα δακρύει.

ΚΗΡΥΞ δ' ἐγγύθεν ἦλθεν ἄγων ἐρίηρον ἀοιδὸν
Τὸν περὶ Μοῦσ' ἐφίλησε, δίδου δ' ἀγαθόν τε καὶ κακόν τε,
Ὀφθαλμῶν μὲν ἄμερσε, δίδου δ' ἡδεῖαν ἀοιδήν.

V. 114. Πότνια θεὰ] Aut legendum hic Πότνα θεὰ, uti ſcriptum eſt in nonnullis aliis locis; aut pronunciandum Πότνια θᾶ, μή μοι, &c. Vid. ad Il. ά. 18. Cl.

V. 116. ἀκιδνοτέρη] Οἱ μὲν γλωσσογράφοι, Ἀσθενεστέρα· οἱ δὲ, Εὐτελεστέρα. Schol.

V. 3.] Τινὲς φασὶν, εἰς αὐτὸν ταῦτα αἰνίττεσθαι τὸν Ποιητήν. Schol.

Τῷ

Digitized by Google

ΕΚ ΤΗΣ ΤΟΥ

ΟΜΗΡΟΥ

ΟΔΥΣΣ.

ΟΜΗΡΟΥ ΟΔΥΣΣ. Α.

Θεῶν ἀγορὰ γίνεται περὶ τῦ τὸν Ὀδυσσέα εἰς Ἰθάκην πεμφθῆναι ἀπὸ τῆς Καλυψῦς νήσε· μεθ' ἣν ἡ Ἀθηνᾶ εἰς Ἰθάκην παραγίνεται πρὸς Τηλέμαχον.

Ἄνδρα μοι ἔννεπε, Μοῦσα, πολύτροπον, ὃς μάλα πολλὰ
Πλάγχθη, ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσε·
Πολλῶν δ' ἀνθρώπων ἴδεν ἄστεα, καὶ νόον ἔγνω·
Πολλὰ δ' ὅγ' ἐν πόντῳ πάθεν ἄλγεα ὃν κατὰ θυμὸν,
Ἀρνύμενος ἥν τε ψυχὴν καὶ νόστον ἑταίρων·
Ἀλλ' οὐδ' ὡς ἑτάρους ἐρρύσατο, ἱέμενός περ·
Αὐτῶν γὰρ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο·
Νήπιοι, οἱ κατὰ βοῦς ὑπερίονος Ἠελίοιο
Ἤσθιον· αὐτὰρ ὁ τοῖσιν ἀφείλετο νόστιμον ἦμαρ.
Τῶν ἀμόθεν γε, θεὰ, θύγατερ Διὸς, εἰπὲ καὶ ἡμῖν.

Digitized by Google

Ἔνθ' ἄλλοι μὲν πάντες, ὅσοι φύγον αἰπὺν ὄλεθρον,
Οἶκοι ἔσαν, πόλεμόν τε πεφεύγοτες ἠδὲ θάλασσαν·
Τὸν δ' αἶον, νόςε κεχρημένον ἠδὲ γυναικὸς,
Νύμφη πότνι' ἔρυκε Καλυψὼ, δῖα θεάων,
Ἐν σπέσσι γλαφυροῖσι, λιλαιομένη πόσιν εἶναι.
Ἀλλ' ὅτε δὴ ἔτος ἦλθε, περιπλομένων ἐνιαυτῶν,
Τῷ οἱ ἐπεκλώσαντο θεοὶ, οἶκόνδε νέεσθαι
Εἰς Ἰθάκην, ὐδ' ἔνθα πεφυγμένος ἦεν ἀέθλων,
Καὶ μετὰ οἷσι φίλοισι· θεοὶ δ' ἐλέαιρον ἅπαντες,
Νόσφι Ποσειδάωνος· ὁ δ' ἀσπερχὲς μενέαινεν
Ἀντιθέῳ Ὀδυσῆϊ, πάρος ἣν γαῖαν ἱκέσθαι.
Ἀλλ' ὁ μὲν Αἰθίοπας μετεκίαθε τηλόθ' ἐόντας,
(Αἰθίοπας, τοὶ διχθὰ δεδαίαται, ἔσχατοι ἀνδρῶν,
Οἱ μὲν δυσομένε ὑπερίονος, οἱ δ' ἀνιόντος,)
Ἀντιόων ταύρων τε καὶ ἀρνειῶν ἑκατόμβης.
Ἔνθ' ὅγε τέρπετο δαιτὶ παρήμενος· οἱ δὲ δὴ ἄλλοι
Ζηνὸς ἐνὶ μεγάροισιν Ὀλυμπίε ἀθρόοι ἦσαν.
Τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Μνήσατο γὰρ κατὰ θυμὸν ἀμύμονος Αἰγίσθοιο,
Τόν ῥ' Ἀγαμεμνονίδης τηλεκλυτὸς ἔκτα Ὀρέστης·
Τῆ ὅγ' ἐπιμνησθεὶς, ἔπε' ἀθανάτοισι μετηύδα·
Ὤ πόποι, οἷον δή νυ θεὺς βροτοὶ αἰτιόωνται!
Ἐξ ἡμέων γὰρ φασι κάκ' ἔμμεναι· οἱ δὲ καὶ αὐτοὶ
Σφῆσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχουσιν.
Ὡς καὶ νῦν Αἴγισθος ὑπὲρ μόρον Ἀτρεΐδαο
Γῆμ' ἄλοχον μνηστὴν, τὸν δ' ἔκτανε νοσήσαντα,
Εἰδὼς αἰπὺν ὄλεθρον, ἐπεὶ πρό οἱ εἴπομεν ἡμεῖς,

Ἑρμείαν

Ἑρμείαν τ' ἐπέμψαντες ἐΰσκοπον Ἀργειφόντην,
Μήτ' αὐτὸν κτείνειν, μήτε μνάασθαι ἄκοιτιν·
Ἐκ γὰρ Ὀρέσαο τίσις ἔσσεται Ἀτρεΐδαο,
Ὄππότ' ἂν ἡβήσῃ τε καὶ ἧς ἱμείρεται αἴης.
Ὣς ἔφαθ' Ἑρμείας. ἀλλ' οὐ φρένας Αἰγίσθοιο
Πεῖθ' ἀγαθὰ φρονέων· νῦν δ' ἅθρόα πάντ' ἀπέτισε.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
Ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων,
Καὶ λίην κεῖνός γε ἐοικότι κεῖται ὀλέθρῳ·
Ὣς ἀπόλοιτο καὶ ἄλλος, ὅτις τοιαῦτά γε ῥέζοι·
Ἀλλά μοι ἀμφ' Ὀδυσῆϊ δαΐφρονι δαίεται ἦτορ,
Δύσμορῳ, ὃς δὴ δηθὰ φίλων ἄπο πήματα πάσχει,
Νήσῳ ἐν ἀμφιρύτῃ, ὅθι τ' ὀμφαλός ἐστι θαλάσσης,
Νῆσος δενδρήεσσα, θεὰ δ' ἐν δώμασι ναίει
Ἄτλαντος θυγάτηρ ὀλοόφρονος, ὅστε θαλάσσης
Πάσης βένθεα οἶδεν, ἔχει δέ τε κίονας αὐτὸς
Μακρὰς, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσι·
Τοῦ θυγάτηρ δύσηνον ὀδυρόμενον κατερύκει·
Αἰεὶ δὲ μαλακοῖσι καὶ αἱμυλίοισι λόγοισι
Θέλγει, ὅπως Ἰθάκης ἐπιλήσεται· αὐτὰρ Ὀδυσσεὺς,
Ἱέμενος καὶ καπνὸν ἀποθρώσκοντα νοῆσαι
Ἧς γαίης, θανέειν ἱμείρεται· οὐδέ νυ σοί περ
Ἐντρέπεται φίλον ἦτορ, Ὀλύμπιε· ἦ νύ τ' Ὀδυσσεὺς
Ἀργείων παρὰ νηυσὶ χαρίζετο ἱερὰ ῥέζων,
Τροίῃ ἐν εὐρείῃ; τί νύ οἱ τόσον ὠδύσαο, Ζεῦ;
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Τέκνον ἐμὸν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;

Πῶς ἂν ἔπειτ' Ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην;
Ὃς περὶ μὲν νόον ἐσὶ βροτῶν, περὶ δ' ἱρὰ θεοῖσιν
Ἀθανάτοισιν ἔδωκε, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν;
Ἀλλὰ Ποσειδάων γαιήοχος ἀσκελὲς αἰεὶ
Κύκλωπος κεχόλωται, ὃν ὀφθαλμῷ ἀλάωσεν,
Ἀντίθεον Πολύφημον, ὅου κράτος ἐσὶ μέγιστον
Πᾶσιν Κυκλώπεσσι· Θόωσα δέ μιν τέκε νύμφη,
Φόρκυνος θυγάτηρ, ἁλὸς ἀτρυγέτοιο μέδοντος.
Ἐκ τοῦ δὴ Ὀδυσῆα Ποσειδάων ἐνοσίχθων
Οὔτι καθαπλείνει, πλάζει δ' ἀπὸ πατρίδος αἴης.
Ἀλλ' ἄγεθ', ἡμεῖς οἵδε περιφραζώμεθα πάντες
Νόσον, ὅπως ἔλθῃσι· Ποσειδάων δὲ μεθήσει
Ὀν χόλον· ἐ μὲν γάρ τι δυνήσεται ἀντία πάντων,
Ἀθανάτων ἄεκητι θεῶν, ἐριδαινέμεν οἷος.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
Ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων,
Εἰ μὲν δὴ νῦν τοῦτο φίλον μακάρεσσι θεοῖσι,
Νοσῆσαι Ὀδυσῆα δαΐφρονα ὅνδε δόμονδε,
Ἑρμείαν μὲν ἔπειτα διάκτορον Ἀργειφόντην
Νῆσον ἐς Ὠγυγίην ὀτρύνομεν, ὄφρα τάχισα
Νύμφῃ εὐπλοκάμῳ εἴπῃ νημερτέα βουλὴν,
Νόσον Ὀδυσσῆος ταλασίφρονος, ὥς πε νέηται.
Αὐτὰρ ἐγὼν Ἰθάκηνδ' ἐσελεύσομαι, ὄφρα οἱ υἱὸν
Μᾶλλον ἐποτρύνω, καί οἱ μένος ἐν φρεσὶ θείω,
Εἰς ἀγορὴν καλέσαντα καρηκομόωντας Ἀχαιοὺς,
Πᾶσι μνηςήρεσσιν ἀπειπέμεν, οἵτε οἱ αἰεὶ
Μῆλ' ἀδινὰ σφάζουσι, καὶ εἰλίποδας ἕλικας βοῦς.

Πέμψω

Πέμψω δ' ἐς Σπάρτην τε καὶ ἐς Πύλον ἠμαθόεντα,
Νόστον πευσόμενον πατρὸς φίλου, ἤν πε ἀκούσῃ·
Ἠδ' ἵνα μιν κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἔχῃσιν.

ΟΜΗΡΟΥ ΟΔΥΣΣ. Δ.

Τηλεμάχῳ, τὸν παῖδα αὐτῷ ἐν Σπάρτῃ ζητοῦντι, ἐξηγησάμενος ὁ Μενέλαος περὶ τῶν νόστων τῶν Ἑλλήνων, καὶ τῆς αὐτῷ ἐν Κύπρῳ καὶ Αἰγύπτῳ ἀποδημίας, εἶτα λέγει τοιάδε.

Ἔνθ' ἐγὼ περὶ κεῖνα πολὺν βίοτον συναγείρων
Ἠλύθην, τείως μοι ἀδελφεὸν ἄλλος ἔπεφνε,
Λάθρη, ἀνωϊστὶ, δόλῳ ἁλομένης ἀλόχοιο·
Ὡς ἕ τοι χαίρων τοῖσδε κλεάτεσσιν ἀνάσσω.
Ὧν ὄφελον τριτάτην περ ἔχων ἐν δώμασι μοῖραν
Ναίειν, οἱ δ' ἄνδρες σόοι ἔμμεναι, οἳ τότ' ὄλοντο
Τροίῃ ἐν εὐρείῃ, ἑκὰς Ἄργεος ἱπποβότοιο.
Ἀλλ' ἔμπης πάντας μὲν ὀδυρόμενος καὶ ἀχεύων,
Πολλάκις ἐν μεγάροισι καθήμενος ἡμετέροισιν,
Ἄλλοτε μέν τε γόῳ φρένα τέρπομαι, ἄλλοτε δ' αὖτε
Παύομαι· αἰψηρὸς δὲ κόρος κρυεροῖο γόοιο.
Τῶν πάντων ἐ τόσσον ὀδύρομαι, ἀχνύμενός περ

V. 1.] Enunciabatur ἴως ἐγὼ, ac si scriptum fuisset, ὅσε ἐγὼ, vel ὅς ἠγώ. Sic ἴως ὁ pronunciabatur raptim legentibus sicut ὥσω vel ὥσεο. Clark. Nihili est quod dicit Barnesius, Amphibrachyn pro Dactylo poni, quasi ἰσοδύναμοι. Non omnes pedes ἰσόχρονοι sunt ἰσοδύναμοι.

Ὡς

Καὶ πέν οἱ Ἀργεῖ ναίσσα πόλιν καὶ δώματ' ἔτευξα,
Ἐξ Ἰθάκης ἀγαγὼν σὺν κλήρωσι καὶ τέκεϊ ᾧ,
Καὶ πᾶσιν λαοῖσι, μίαν πόλιν ἐξαλαπάξας,
Αἳ περιναιετάουσιν, ἀνάσσοντ' ἐμοὶ αὐτῷ·
Καί κε θαμὰ ἐνθάδ' ἐόντες ἀμισγόμεθ' οὐδέ κεν ἡμέας
Ἄλλο διέκρινεν φιλέοντέ τε τερπομένω τε,
Πρίν γ' ὅτε δὴ θανάτοιο μέλαν νέφος ἀμφεκάλυψεν.
Ἀλλὰ τὰ μέν πε μέλλεν ἀγάσσεσθαι θεὸς αὐτὸς,
Ὅς κεῖνον δύσηνον ἀνόσιμον οἷον ἔθηκεν.
Ὣς φάτο· τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο.
Κλαῖε μὲν Ἀργείη Ἑλένη Διὸς ἐκγεγαυῖα,
Κλαῖε δὲ Τηλέμαχός τε καὶ Ἀτρεΐδης Μενέλαος,
Οὐδ' ἄρα Νέστορος υἱὸς ἀδακρύτω ἔχεν ὄσσε.
Μνήσατο γὰρ καὶ ἀθυμὸν ἀμύμονος Ἀντιλόχοιο,
Τὸν ῥ' Ἠὼς ἔκτεινε φαεινῆς ἀγλαὸς υἱός.

V. 60. τέκεϊ ᾧ] ᾧ hoc unum est ex plurimis apud Homerum verbis quibus Æolicum Digamma F (quod Romanæ consonanti V. Anglicæ W potestate respondet) præfigendum videtur: cujus quidem ea est natura, ut sive initio vocum præficiatur, sive mediis interseratur, vocalem brevem proxime præcedentem possit producere. Qua de re fuse ac ingeniose differit in Miscell. Crit. Ric. Dawes; qui per hanc Æolicam literam metrum Homericum longe melius quam Clarkius explicat.

V. 61. ἐξαλαπάξας] Μίαν ἡσας τὰς ἀνοικοῦντας εἰς ἕτερον τόπον. Schol.

ΟΔΥΣΣ.

ΟΔΥΣΣ. Ε.

Ζεὺς Ἑρμῆν πέμπει ἐπὶ Καλυψὼ, κελεύων ἀποπέμπειν τὸν Ὀδυσσέα.

Ὣς ἔφατ'· οὐδ' ἀπίθησε διάκτορος Ἀργειφόντης·
Αὐτίκ' ἔπειθ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα,
Ἀμβρόσια, χρύσεια· τά μιν φέρον ἠμὲν ἐφ' ὑγρὴν,
Ἠδ' ἐπ' ἀπείρονα γαῖαν, ἅμα πνοιῇς ἀνέμοιο·
Εἵλετο δὲ ῥάβδον, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει,
Ὧν ἐθέλει· τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει.
Τὴν μετὰ χερσὶν ἔχων πέτετο κραιὺς Ἀργειφόντης.

V. 12.] —Dixerat: ille patris magni parere parabat
Imperio: et primùm pedibus talaria nectit
Aurea, quæ sublimem alis, sive æquora suprà,
Seu terram, rapido pariter cum flamine portant.
Æn. iv. 238.

V. 5.] Tum virgam capit: hâc animas ille evocat Orco
Pallentes, alias sub tristia Tartara mittit:
Dat somnos adimitque, et lumina morte resignat.
Æn. iv. 242.

λέγει ἀθροότητα νοητὸν τὴν τῆ Ἑρμῆ ῥάβδον, ὅτι ψυχὰς μὲν τεταραγμένας σωφρονίζει, ἐκλελυμένας δὲ διεγείρει. Schol. Similiter Eustathius virgæ hujus vim ad eloquentiam refert. Aliter hunc locum interpretatus videtur Virgilius, qui in versibus præcedentibus hæc de Mercurio, ut ψυχαγωγῷ, dicit.

V. 7.] Illâ fretus agit ventos, et turbida tranat
Nubila. Æn. iv. 245.

Digitized by Google

Πιερίην δ' ἐπιβὰς, ἐξ αἰθέρος ἔμπεσε πόντῳ.
Σεύατ' ἔπειτ' ἐπὶ κῦμα, Λάρῳ ὄρνιθι ἐοικὼς,
Ὅςε κατὰ δεινὺς κόλπυς ἁλὸς ἀτρυγέτοιο,
Ἰχθῦς ἀγρώσσων, πυκινὰ πτερὰ δεύεται ἅλμῃ·
Τῷ ἴκελος πολέεσσιν ὀχήσατο κύμασιν Ἑρμῆς·
Ἀλλ' ὅτε δὴ τὴν νῆσον ἀφίκετο τηλόθ' ἐοῦσαν,
Ἔνθ' ἐκ πόντυ βὰς ἰοειδέος, ἤπειρόνδε
Ἤϊεν· ὄφρα μέγα σπέος ἵκετο, τῷ ἔνι Νύμφη
Ναῖεν ἐϋπλόκαμος· τὴν δ' ἔνδοθι τέτμεν ἐοῦσαν·
Πῦρ μὲν ἐπ' ἐσχαρόφιν μέγα καίετο, τηλόθι δ' ὀδμὴ
Κέδρυ τ' εὐκεάτοιο, θύυ τ' ἀνὰ νῆσον ὀδώδει
Δαιομένων· ἡ δ' ἔνδον ἀοιδιάυσ' ὀπὶ καλῇ,
Ἱςὸν ἐποιχομένη, χρυσείῃ κερκίδ' ὕφαινεν.
Ὕλη δὲ σπέος ἀμφιπεφύκει τηλεθόωσα,
Κλήθρη τ', αἴγειρός τε, καὶ εὐώδης κυπάρισσος.
Ἔνθα δὲ τ' ὄρνιθες τανυσίπτεροι εὐνάζοντο,

V. 8.] Hic primum paribus nitens Cyllenius alis
Constitit; hinc toto præceps se corpore ad undas
Misit; avi similis, quæ circum litora, circum
Piscosos scopulos, humilis volat æquora juxta.
Æn. iv. 252.

Ibid.] Πιερία, ὄρος Μακεδονίας, ἱερὸν Μυσῶν. Schol.

V. 9. Λάρῳ ὄρνιθι ἐοικὼς] Τὴν ὁρμὴν, ὐ τὸ σῶμα. Λάρος δὲ ὄρνιον θαλάσσιον. Schol.

V. 10.] ἀτρυγέτοιο] Ἀκαταπονήτυ, πολλῆς· ἢ ὡς ἔνιοι φασὶ, τῆς ἀκάρπυ. Schol. in Iliad. α. 316.

V. 15, &c.] Proxima Circæ raduntur litora terræ,
Dives inaccessos ubi Solis filia lucos
Assiduo resonat cantu, tectisque superbis
Urit odoratam nocturna in lumina cedrum,
Arguto tenues percurrens pectine telas. Æn. vii. 10.

Σκῶπές

Digitized by Google

Σκῶπές τ' ἴρηκές τε, τανύγλωσσοί τε κορῶναι
Εἰνάλιαι, τῇσίν τε θαλάσσια ἔργα μέμηλεν.
Ἡ δ' αὐτοῦ τετάνυστο περί σπείους γλαφυροῖο
Ἡμερὶς ἡβώωσα, τεθήλει δὲ σταφυλῇσι·
Κρῆναι δ' ἑξείης πίσυρες ῥέον ὕδατι λευκῷ,
Πλησίαι ἀλλήλων, τετραμμέναι ἄλλυδις ἄλλη·
Ἀμφὶ δὲ λειμῶνες μαλακοὶ ἴου ἠδὲ σελίνου
Θήλεον· ἔνθα κ' ἔπειτα καὶ ἀθάνατός περ ἐπελθὼν
Θηήσαιτο ἰδὼν, καὶ τερφθείη φρεσὶν ᾗσιν·
Ἔνθα στὰς θηεῖτο διάκτορος Ἀργειφόντης.
Αὐτάρ ἐπειδὴ πάντα ἑῷ θηήσατο θυμῷ,
Αὐτικ' ἄρ' εἰς εὐρὺ σπέος ἤλυθεν· οὐδέ μιν ἄντην
Ἡγνοίησεν ἰδοῦσα Καλυψὼ δῖα θεάων.
Οὐδ' ἄρ' Ὀδυσσῆα μεγαλήτορα ἔνδον ἔτετμεν·
Ἀλλ' ὅγ' ἐπ' ἀκτῆς κλαῖε καθήμενος· ἔνθα πάρος περ
Δάκρυσι καὶ στοναχῇσι καὶ ἄλγεσι θυμὸν ἐρέχθων,
Πόντον ἐπ' ἀτρύγετον δερκέσκετο, δάκρυα λείβων.
Ἑρμείαν δ' ἐρέεινε Καλυψὼ δῖα θεάων,
Ἐν θρόνῳ ἱδρύσασα φαεινῷ σιγαλόεντι·

V. 42. Σιγαλόεντι.] Hanc vocem multi interpretantur, *admirandus*, quasi deducta sit a Σιγὴ, et tacitam quandam admirationem significet. Exponit hoc in loco Eustathius, ὁ ποικίλος διὰ τὸ κατεστιγμένος εἶναι. Quod valde favet conjecturæ cl. Taylori, qui in Lect. Lysiac. p. 703. ita scribit, "vexatissima ista ῥήγεα vel ἠνία, "εἵματα, δέσματα ΣΙΓΑΛΟΕΝΤΑ, quæ passim apud Homerum le-"guntur, emendari jubeo semper ΣιFαλοFεντα. Qui a Σιγὴ de-"ducunt, vel potius cogunt, operam ludunt. Σιαλῶσαι apud "Hesychium est ποικίλαι. Rectè igitur Σιγαλόεν (corrupte Γ pro "F) exponitur ab eodem, ποικίλον τῇ γραφῇ, λαμπρὸν, &c. Σιγαλό-"εντα, λάμπρα, ποικίλα, καὶ τὰ ὅμοια."

Digitized by Google

Ἐνθ' ἄρα μιν προσέειπε διάκτορος Ἀργειφόντης·
Ζεὺς ἐμὲ ἠνώγει δεῦρ' ἐλθέμεν οὐκ ἐθέλοντα.
Φησί τοι ἄνδρα παρεῖναι ὀϊζυρώτατον ἄλλων
Τῶν ἀνδρῶν, οἳ ἄστυ περὶ Πριάμοιο μάχονται
Εἰναέτες, δεκάτῳ δὲ πόλιν πέρσαντες ἔβησαν
Οἴκαδ' ἀταρ ἐν νόῳ Ἀθηναίην ἀλίτοντο,
Ἣ σφιν ἐπῶρσ' ἄνεμόν τε κακὸν καὶ κύματα μακρά·
Ἐνθ' ἄλλοι μὲν πάντες ἀπέφθιθον ἐσθλοὶ ἑταῖροι,
Τὸν δ' ἄρα δεῦρ' ἄνεμός τε φέρων καὶ κῦμα πέλασσεν.
Τὸν νῦν σ' ἠνώγει ἀποπεμπέμεν ὅττι τάχιστα.
Οὐ γάρ οἱ τῆδ' αἶσα φίλων ἄπο νόσφιν ἑλέσθαι
Ἀλλ' ἔτι οἱ μοῖρ' ἔστι φίλους τ' ἰδέειν, καὶ ἱκέσθαι
Οἶκον ἐς ὑψόροφον, καὶ ἐὴν ἐς πατρίδα γαῖαν.
Ὣς φάτο· ῥίγησεν δὲ Καλυψὼ δῖα θεάων,
Καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα.
Τὸν μὲν ἐγὼν ἐσάωσα περὶ τρόπις βεβαῶτα
Οἷον· ἐπεὶ οἱ νῆα θοὴν ἀργῆτι κεραυνῷ
Ζεὺς ἔλασας ἐκέασσε μέσῳ ἐνὶ οἴνοπι πόντῳ.
Ἐνθ' ἄλλοι μὲν πάντες ἀπέφθιθον ἐσθλοὶ ἑταῖροι,
Τὸν δ' ἄρα δεῦρ' ἄνεμός τε φέρων καὶ κῦμα πέλασσε.
Τὸν μὲν ἐγὼ φίλεόν τε καὶ ἔτρεφον, ἠδὲ ἔφασκον
Θήσειν ἀθάνατον καὶ ἀγήραον ἤματα πάντα.
Ἀλλ' ἐπεὶ οὔπως ἔστι Διὸς νόον Αἰγιόχοιο
Οὔτε παρεξ ἐλθεῖν ἄλλον θεόν, εὖ' ἀλιῶσαι,
Ἔρρέτω, εἴ μιν κεῖνος ἐποτρύνει καὶ ἀνώγει,
Πόντον ἐπ' ἀτρύγετον· πέμψω δὲ μιν οὔπη ἔγώγε,
Οὐ γάρ μοι πάρα νῆες ἐπήρετμοι, καὶ ἑταῖροι,

Οἵ

Οἱ κέν μιν πέμποιεν ἐπ' εὐρέα νῶτα θαλάσσης.
Αὐτάρ οἱ πρόφρων ὑποθήσομαι, ἠδ' ἐπικεύσω,
Ὡς κε μάλ' ἀσπηθὴς ἣν πατρίδα γαῖαν ἵκηαι.
Ἡ δ' ἐπ' Ὀδυσσῆα μεγαλήτορα πότνια Νύμφη
Ἤϊε, ἐπειδὴ Ζηνὸς ἐπέκλυεν ἀγγελιάων.
Τὸν δ' ἄρ' ἐπ' ἀκλῆς εὗρε καθήμενον· ἠδέ ποτ' ὄσσε
Δακρυόφιν τέρσενλο, κατείβελο δὲ γλυκὺς αἰὼν
Νόςον ὀδυρομένῳ, ἐπεὶ ἀκέτι ἥνδανε Νύμφη.
Ἀλλ' ἦτοι νύκτας μὲν ἰαύεσκεν καὶ ἀνάγκῃ
Ἐν σπέσσι γλαφυροῖσι παρ' οὐκ ἐθέλων ἐθελούσῃ.
Ἤμαλα δ' ἐν πέτρῃσι καὶ ἠϊόνεσσι καθίζων,
Δάκρυσι καὶ ςοναχῇσι καὶ ἄλγεσι θυμὸν ἐρέχθων
Πόντον ἐπ' ἀτρύγελον δερκέσκελο, δάκρυα λείβων.
Ἀγχοῦ δ' ἱςαμένη προσεφώνεε δῖα θεάων.
Κάμμορε, μή μοι ἔτ' ἐνθάδ' ὀδύρεο, μηδέ τοι αἰὼν
Φθινέτω· ἤδη γάρ σε μάλα πρόφρασσ' ἀποπέμψω.
Ὡς φάτο· ῥίγησεν δὲ πολύτλας δῖος Ὀδυσσεύς,
Καί μιν φωνήσας ἔπεα πλερόενλα προσηύδα.
Ἄλλο τι δὴ, σὺ θεὰ, τόδε μήδεαι, οὐδέ τι πομπὴν,
Ἣ με κέλεαι σχεδίῃ περάαν μέγα λαῖτμα θαλάσσης,
Δεινόν τ' ἀργαλέον τε· τὸ δ' οὐδ' ἐπὶ νῆες ἐΐσαι
Ὠκύποροι περόωσιν, ἀγαλλόμεναι Διὸς ὄρῳ.
Ὣς ἄρα φώνησεν, μελὰ δ' ἴχνια βαῖνε θεοῖο.
Ἶξον δὲ σπείος γλαφυρὸν θεὸς ἠδὲ καὶ ἀνήρ·
Καί ῥ' ὁ μὲν ἔνθα κάθιζεν ἐπὶ θρόνε, ἔνθεν ἀνέςη

V. 89. σχιδίῃ] Τὴν εἰκαίως κεκλασκευασθεῖσαν ναῦν λέγει. Schol.
V. 90. ἴΐσαι] Ἴσαι κατὰ τὰς τοίχας. Schol. ad Odyff. γ'. 10. Ἑρμείας.

Digitized by Google

Ἑρμείας· Νύμφη δ' ἐτίθει παρὰ πᾶσαν ἐδωδήν,
Ἔσθειν καὶ πίνειν, οἷα βροτοὶ ἄνδρες ἔδουσιν·
Αὐτὴ δ' αὖτ' ἐναντίον ἷζεν Ὀδυσσῆος θείοιο.
Τῇ δὲ παρ' ἀμβροσίην ἑλόωσαι καὶ νέκταρ ἔθηκαν.
Οἱ δ' ἐπ' ὀνείαθ' ἕτοιμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ τάρπησαν ἐδητύος ἠδὲ ποτῆτος,
Τοῖς ἄρα μύθων ἦρχε Καλυψὼ δῖα θεάων.

Διογενὲς Λαερτιάδη πολυμήχαν Ὀδυσσεῦ,
Οὕτω δὴ οἰκόνδε φίλην ἐς πατρίδα γαῖαν
Αὐτίκα νῦν ἐθέλεις ἰέναι; σὺ δὲ χαῖρε καὶ ἔμπης.
Εἴγε μὲν εἰδείης σῇσι φρεσὶν, ὅσσα τοι αἶσα
Κήδε' ἀναπλῆσαι, πρὶν πατρίδα γαῖαν ἱκέσθαι,
Ἐνθάδε αὖθι μένων σὺν ἐμοὶ τόδε δῶμα φυλάσσοις,
Ἀθανάτος τ' εἴης· ἱμειρόμενός περ ἰδέσθαι
Σὴν ἄλοχον, τῆς αἰὲν ἐέλδεαι ἤματα πάντα.
Οὐ μὲν δὴν κείνης γε χερείων εὔχομαι εἶναι,
Οὐ δέμας, οὐδὲ φυήν· ἐπεὶ οὔπως οὐδὲ ἔοικεν
Θνηταὶς ἀθανάτῃσι δέμας καὶ εἶδος ἐρίζειν.

Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμηλις Ὀδυσσεύς.

V. 103. ἔτω δὴ] *Siccine ergo revera domum*, &c. Λαμβάνεται δὲ καὶ ἐν παθητικοῖς πολλάκις ὁ σύνδεσμος ἔτος, ὥσπερ ἐπὶ τῆς Καλυψοῦς πρὸς τὸν Ὀδυσσέα "ἔτω δὴ οἰκόνδε". εἰ γὰρ τὸν σύνδεσμον ἐξέλοις, συνεξαιρήσεις καὶ τὸ πάθος. Demetr. Phal. περὶ ἑρμην.

V. 104. ἔμπης] Τὸ Ἔμπης, ὃ καὶ Ἔμπα λέγεται, ἐν τούτῳ τῷ τόπῳ Ὅμως σημαίνει. Schol. MSS. apud Barnesium. Est ergo sententia, "Quamvis discedere et me linquere paras, opto tibi nihilominus ut omnia bene cedant." Cl.

Πότνια

Πότνια θεὰ, μή μοι τόδε χώεο· οἶδα καὶ αὐτὸς
Πάντα μάλ', ἕνεκα σεῖο περίφρων Πηνελόπεια
Εἶδος ἀκιδνοτέρη, μέγεθός τ', εἰς ἅντα ἰδέσθαι.
(Ἡ μὲν γὰρ βροτός ἐσι, σὺ δ' ἀθάναλος καὶ ἀγήρως.)
Ἀλλὰ καὶ ὣς ἐθέλω καὶ ἑέλδομαι ἦμαλα πάντα
Οἴκαδέ τ' ἐλθέμεναι, καὶ νόσιμον ἦμαρ ἰδέσθαι.
Εἰ δ' αὖ τις ῥαίησι θεῶν ἐνὶ οἴνοπι πόντῳ,
Τλήσομαι, ἐν ςήθεσσιν ἔχων ταλαπενθέα θυμόν.
Ἤδη γὰρ μάλα πολλὰ ἔπαθον καὶ πολλὰ ἐμόγησα
Κύμασι καὶ πολέμῳ· μετὰ καὶ τόδε τοῖσι γενέσθω.

ΟΔΥΣΣ. Θ.

Ὀδυσσεὺς παρὰ τῷ Ἀλκινόῳ ἑςιώμενος, καὶ Δημοδόκε τὰ τῶν Ἑλλήνων ἀείδοντος ἀκέων, λάθρα δακρύει.

ΚΗΡΥΞ δ' ἐγγύθεν ἦλθεν ἄγων ἐρίηρον ἀοιδὸν
Τὸν περὶ Μοῦσ' ἐφίλησε, δίδυ δ' ἀγαθόν τε καὶ κακόν τε,
Ὀφθαλμῶν μὲν ἄμερσε, δίδυ δ' ἡδεῖαν ἀοιδήν.

V. 114. Πότνια θεὰ] Aut legendum hic Πότνα θεὰ, uti ſcriptum eſt in nonnullis aliis locis; aut pronunciandum Πότνια θᾶ, μή μοι, &c. Vid. ad Il. ά. 18. Cl.

V. 116. ἀκιδνοτέρη] Οἱ μὲν γλωσσογράφοι, Ἀσθενεςέρα· οἱ δὲ, Εὐτελεςέρα. Schol.

V. 3.] Τινὲς φασὶν, εἰς αὐτὸν ταῦτα αἰνίτλεσθαι τὸν Ποιητήν. Schol.

Τῷ

Τῷ δ' ἄρα Ποντάνοος θῆκε θρόνον ἀργυρόηλον
Μέσσῳ δαιτυμόνων, πρὸς κίονα μακρὸν ἐρείσας.
Καὶ δ' ἐκ πασσαλόφιν κρέμασεν φόρμιγγα λιγεῖαν
Αὐτῇ ὑπὲρ κεφαλῆς καὶ ἐπέφραδε χερσὶν ἑλέσθαι
Κήρυξ· πὰρ δ' ἐτίθει κάνεον, καλήν τε τράπεζαν,
Πὰρ δὲ δέπας οἴνοιο, πιεῖν ὅτε θυμὸς ἀνώγοι.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
Μῦσ' ἄρ ἀοιδὸν ἀνῆκεν ἀείδεμεναι κλέα ἀνδρῶν,
Οἵμης, τῆς τότ' ἄρα κλέος οὐρανὸν εὐρὺν ἵκανε·
Νεῖκος Ὀδυσσῆος καὶ Πηλείδεω Ἀχιλῆος,
Ὡς πρῶτα ἐρίσαντο θεῶν ἐν δαιτὶ θαλείῃ
Ἐκπάγλοις ἐπέεσσιν· ἄναξ δ' ἀνδρῶν Ἀγαμέμνων
Χαῖρε νόῳ, ὅτ' ἄριστοι Ἀχαιῶν ἐρίσαντο.
Ὡς γὰρ οἱ χρειὼν μυθήσατο Φοῖβος Ἀπόλλων
Πυθοῖ ἐν ἠγαθέῃ, ὅθ' ὑπέρβη λάϊνον οὐδὸν
Χρησόμενος· τότε γάρ ῥα κυλίνδετο πήματος ἀρχὴ
Τρωσί τε καὶ Δαναοῖσι, Διὸς μεγάλου διὰ βουλάς.
Ταῦτ' ἄρ' ἀοιδὸς ἄειδε περικλυτός· αὐτὰρ Ὀδυσσεὺς
Πορφύρεον μέγα φᾶρος ἑλὼν χερσὶ στιβαρῇσι,
Κεκκεφαλῆς εἴρυσσε, κάλυψε δὲ καλὰ πρόσωπα·
Αἴδετο γὰρ Φαίηκας, ὑπ' ὀφρύσι δάκρυα λείβων.
Ἤτοι ὅτε λήξειεν ἀείδων θεῖος ἀοιδὸς,

V. 14.] Φασὶ τῷ Ἀγαμέμνονι χρεωμένῳ, περὶ τῆ κατὰ τὸν πόλεμον τέλους, ἀνελεῖν τὸν ἐν Δελφοῖς Ἀπόλλωνα, τότε πορθήσειν τὸ Ἴλιον, ὅτ' ἂν οἱ ἄριστοι τῶν Ἑλλήνων στασιάσωσιν· καὶ δὴ παρὰ πότον διαλεχθέντων Ὀδυσσέως καὶ Ἀχιλλέως, τῆ μὲν ἀνδρείαν ἐπαινεῖσθαι, τῆ δὲ σύνεσιν, Ἀγαμέμνονα, ὡς τελεμένε λόγε, χαίρειν. Schol.

Δάκρυ

Δάκρυ ὀμορξάμενος, κεφαλῆς ἀπὸ φᾶρος ἔλεσκε,
Καὶ δέπας ἀμφικύπελλον ἑλὼν, σπείσασκε θεοῖσιν·
Αὐτὰρ ὅτ' ἂψ ἄρχοιτο, καὶ ὀτρύνειαν ἀείδειν
Φαιήκων οἱ ἄριστοι, (ἐπεὶ τέρποντ' ἐπέεσσιν,)
Ἄψ Ὀδυσεὺς κεφαλὰ κρᾶτα καλυψάμενος γοάασκεν.
Ἔνθ' ἄλλους μὲν πάντας ἐλάνθανε, δάκρυα λείβων·
Ἀλκίνοος δέ μιν οἶος ἐπεφράσατ', ἠδ' ἐνόησεν,
Ἥμενος ἄγχ' αὐτῷ· βαρὺ δὲ στενάχοντος ἄκουσεν·
Αἶψα δὲ Φαιήκεσσι φιληρέτμοισι μετηύδα.

Κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες,
Ἤδη μὲν δαιτὸς κεκορήμεθα θυμὸν ἐΐσης,
Φόρμιγγός θ', ἣ δαιτὶ συνήορός ἐστι θαλείῃ·
Νῦν δ' ἐξέλθωμεν, καὶ ἀέθλων πειρηθῶμεν·

ΟΔΥΣΣ. Λ.

Ἀπαγγέλλει ὁ Ὀδυσσεὺς, πῶς καὶ Κίρκης ἐντολὰς εἰς ᾅδου καὶ ἦλθε· καὶ ὡς ἤκουσε Τειρεσίου τοῦ μάντεως, περὶ τῆς ἑαυτοῦ καὶ τῶν ἄλλων σωτηρίας· καὶ ὡς τὰς ἥρωας εἶδεν ἐν ᾅδου, καὶ τὴν μητέρα, καὶ ἐς Ἴλιον συστρατευσάντων ἐνίας, καὶ τῶν ἐν ᾅδου κολαζομένων τινάς.

Αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα καταήλθομεν, ἠδὲ θάλασσαν,
Νῆα μὲν ἂρ πάμπρωτον ἐρύσσαμεν εἰς ἅλα δῖαν·
Ἐν δ' ἱστὸν τιθέμεσθα καὶ ἱστία νηῒ μελαίνῃ·
Ἐν δὲ τὰ μῆλα λαβόντες ἐβήσαμεν, ἐν δὲ καὶ αὐτοὶ

Βαίνομεν ἀχνύμενοι, θαλερὸν κατὰ δάκρυ χέοντες.
Ἡμῖν δ' αὖ κατόπισθε νεὼς κυανοπρῴροιο
Ἶκμενον ἦρον ἵει πλησίστιον, ἐσθλὸν ἑταῖρον,
Κίρκη ἐϋπλόκαμος, δεινὴ θεὸς, αὐδήεσσα.
Ἡμεῖς δ' ὅπλα ἕκαστα πονησάμενοι κατὰ νῆα,
Ἥμεθα· τὴν δ' ἄνεμός τε κυβερνήτης τ' ἴθυνεν.
Τῆς δὲ παννημερίης τέτατ' ἱστία πολιοπορούσης·
Δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί.
Ἣ δ' ἐς πείραθ' ἵκανε βαθυῤῥόου Ὠκεανοῖο·
Ἔνθα δὲ Κιμμερίων ἀνδρῶν δῆμός τε πόλις τε
Ἠέρι καὶ νεφέλῃ κεκαλυμμένοι· οὐδέ ποτ' αὐτὲς
Ἠέλιος φαέθων ἐπιδέρκεται ἀκτίνεσσιν,
Οὐδ' ὁπότ' ἂν εἰχῃσι πρὸς οὐρανὸν ἀστερόεντα,
Οὔθ' ὅταν ἂψ ἐπὶ γαῖαν ἀπ' οὐρανόθεν προρράπῃται·
Ἀλλ' ἐπὶ νυὺξ ὀλοὴ τέταται δειλοῖσι βροτοῖσι.
Νῆα μὲν ἔνθ' ἐλθόντες ἐκέλσαμεν· ἐκ δὲ τὰ μῆλα
Εἱλόμεθ'· αὐτοὶ δ' αὖτε παρὰ ῥόον Ὠκεανοῖο
Ἤμεν, ὄφρ' ἐς χῶρον ἀφικόμεθ', ὃν φράσε Κίρκη.

V. 5. Βαίνομεν ἀχνύμενοι] "Propter iter ad inferos ſuſceptum "ex Circes vaticinio." Spondanus.

V. 13.] Eſt locus, extremum qua pandit Gallia littus,
Oceani prætentus aquis, ubi fertur Ulyſſes
Sanguine libato populum moviſſe ſilentem:
Illic umbrarum tenui ſtridore volantum
Flebilis auditur queſtus: ſimulacra coloni
Pallida, defunctaſque vident migrare figuras.
Claudian. in Rufin. lib. I. 124.

V. 15.] Tum ſol pallentes haud unquam diſcutit umbras,
Nec, cum invectus equis altum petit æthera; nec, cum
Præcipitem Oceani rubro lavat æquore currum.

Ἔνθ'

Ἔνθ' ἐπεὶ εὐχωλῇσι λιτῇσί τε ἔθνεα νεκρῶν
Ἐλλισάμην, τὰ δὲ μῆλα λαβὼν ἀπεδειροτόμησα
Ἐς βόθρον, ῥέε δ' αἷμα κελαινεφές· αἱ δ' ἀγερονθο
Ψυχαὶ ὑπ' ἐξ Ἐρέβευς νεκύων καταθνειώτων,
Νύμφαι τ', ἠίθεοί τε, πολύτλητοί τε γέροντες,
Παρθενικαί τ' ἀταλαὶ, νεοπενθέα θυμὸν ἔχουσαι,
Πολλοὶ δ' ὑτάμενοι χαλκήρεσιν ἐγχείῃσιν
Ἄνδρες ἀρηΐφατοι, βεβροτωμένα τεύχε' ἔχοντες,
Οἳ πολλοὶ περὶ βόθρον ἐφοίτων ἄλλοθεν ἄλλος,
Θεσπεσίῃ ἰαχῇ· ἐμὲ δὲ χλωρὸν δέος ἥρει·
Ἦλθε δ' ἐπὶ ψυχὴ μητρὸς καταθνειυίης,
Αὐτολύκῃ θυγάτηρ μεγαλήτορος Ἀντίκλεια.
Τὴν ζωὴν κατέλειπον ἰὼν εἰς Ἴλιον ἱρήν.
Τὴν μὲν ἐγὼ δάκρυσα ἰδὼν, ἐλέησά τε θυμῷ.
Ἣ μ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·
Τέκνον ἐμὸν, πῶς ἦλθες ὑπὸ ζόφον ἠερόεντα,
Ζωὸς ἐών; χαλεπὸν δὲ τάδε ζωοῖσιν ὁρᾶσθαι.
Μέσσῳ γὰρ μεγάλοι πόλαμοὶ καὶ δεινὰ ῥέεθρα·
Ὠκεανὸς μὲν πρῶτα, τὸν οὔπως ἐξὶ περῆσαι
Πεζὸν ἐόντ', ἢν μή τις ἔχῃ εὐεργέα νῆα.
Ἦ νῦν δὴ Τροίηθεν ἀλώμενος ἐνθάδ' ἱκάνεις
Νηΐ τε καὶ ἑτάροισι πολύν χρόνον; οὐδέ πω ἦλθες
Εἰς Ἰθάκην; οὐδ' εἶδες ἐνὶ μεγάροισι γυναῖκα;

V. 15.] ——commotæ Erebi de ſedibus imis
Umbræ ibant tenues, ſimulacraque luce carentum,——
Matres atque viri, defunctaque corpora vitâ
Magnanimûm Heroum; pueri, innuptæque puellæ,
Impoſitique rogis juvenes ante ora parentum.
Georg. iv. 471, &c.

Ὣς ἔφατ'. αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
Μῆτερ ἐμή, χρειώ με κατήγαγεν εἰς Ἀΐδαο,
Ψυχῇ χρησόμενον Θηβαίου Τειρεσίαο.
Οὐ γάρ πω σχεδὸν ἦλθον Ἀχαιΐδος, οὐδέ πω ἁμῆς
Γῆς ἐπέβην, ἀλλ' αἰὲν ἔχων ἀλάλημαι οἴζυν,
Ἐξ οὗ τὰ πρώτιστα' ἑπόμην Ἀγαμέμνονι δίῳ
Ἴλιον εἰς εὔπωλον, ἵνα Τρώεσσι μαχοίμην.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως καταλέξον,
Τίς νύ σε κὴρ ἐδάμασσε ταναηλεγέος θανάτοιο;
Ἦ δολιχὴ νοῦσος, ἦ Ἄρτεμις ἰοχέαιρα
Οἷς ἀγανοῖς βελέεσσιν ἐποιχομένη κατέπεφνεν;
Εἰπὲ δέ μοι πατρός τε καὶ υἱέος, ὃν κατέλειπον,
Ἦ ἔτι πὰρ κείνοισιν ἐμὸν γέρας, ἦέ τις ἤδη
Ἀνδρῶν ἄλλος ἔχει, ἐμὲ δ' οὐκ ἔτι φασὶ νέεσθαι.
Εἰπὲ δέ μοι μνηστῆς ἀλόχου βουλήν τε νόον τε,
Ἦε μένει παρὰ παισὶ, καὶ ἔμπεδα πάντα φυλάσσει,
Ἦ ἤδη μιν ἔγημεν Ἀχαιῶν ὅστις ἄριστος;
Ὣς ἐφάμην· ἡ δ' αὐτίκ' ἀμείβετο πότνια μήτηρ·
Καὶ λίην κείνη γε μένει τετληότι θυμῷ
Σοῖσιν ἐνὶ μεγάροισιν· ὀϊζυραὶ δέ οἱ αἰεὶ
Φθίνυσιν νύκτες τε καὶ ἤματα δακρυχεούσῃ·
Σὸν δ' ἄπο τις ἔχει καλὸν γέρας, ἀλλὰ ἔκηλος
Τηλέμαχος τέμενος νέμεται, καὶ δαῖτας ἐίσας

V. 45.] Ἡ δολιχὴ νόσος ἀντιδιαστέλλεται πρὸς τὸν ἐκ βολῆς Ἀρτέμιδος, ἀλλαχοῦ δὲ καὶ Ἀπόλλωνος, γινόμενον θάνατον· ὡς τῷ τοιούτῳ αἴφνης ἐπισυμβαινούσης. Eustath.

V. 67. ἔκηλος] Videtur prius oppetiisse Anticlea, quam Penelopen proci ambirent, Ulyssisque facultates diriperent. Cl.

Δαίνυται,

Φαίνηαι, ὃς ἐπέοικε δικασπόλον ἄνδρ' ἀλεγύνειν·
Πάντες γὰρ καλέουσι πατὴρ δὲ σὸς αὐτόθι μίμνει
Ἀγρῷ, ὐδὲ πόλινδε κατέρχεται· ὐδέ οἱ εὐναὶ,
Δέμνια, καὶ χλαῖναι, καὶ ῥήγεα σιγαλόεντα·
Ἀλλ' ὅγε χείμα μὲν εὕδει, ὅθι δμῶες, ἐνὶ οἴκῳ,
Ἐν κόνι, ἄγχι πυρὸς, κακὰ δὲ χροὶ εἵματα εἶται·
Αὐτὰρ ἐπὴν ἔλθῃσι θέρος, τεθαλυῖά τ' ὀπώρη,
Πάντη οἱ κατὰ γυνὸν ἀλωῆς οἰνοπέδοιο
Φύλλων κεκλιμένων χθαμαλαὶ βεβλήαται εὐναί·
Ἔνθ' ὅγε κεῖτ' ἀχέων· μέγα δὲ φρεσὶ πένθος ἀέξει,
Σὸν πότμον γοόων· χαλεπὸν δ' ἐπὶ γῆρας ἰκάνει.
Οὕτω γὰρ καὶ ἐγὼν ὀλόμην, καὶ πότμον ἐπέσπον·
Οὔτ' ἔμ' ἐνὶ μεγάροισιν ἐΰσκοπος Ἰοχέαιρα
Οἷς ἀγανοῖς βελέεσσιν ἐποιχομένη καθέπεφνεν.
Οὔτε τις ἔν μοι νῆσος ἐπήλυθεν, ἥτε μάλιστα
Τηκεδόνι συγερῇ μελέων ἐξείλετο θυμόν·
Ἀλλά με σός τε πόθος, σά τε μήδεα, φαίδιμ' Ὀδυσσεῦ,
Σή τ' ἀγανοφροσύνη μελιηδέα θυμὸν ἀπηύρα.
Ὣς ἔφατ' αὐτὰρ ἔγωγ' ἔθελον φρεσὶ μερμηρίξας
Μητρὸς ἐμῆς ψυχὴν ἐλέειν καταθνητεούσης·
Τρὶς μὲν ἐφωρμήθην, ἐλέειν τέ με θυμὸς ἄνωγε,

V. 70.] Δοκεῖ δὲ ἀρχαῖον ἔθος εἶναι εἰς δαῖτας δημοσίας προκαλεῖσθαι τὺς βασιλεῖς τε καὶ δυνατάς. Eust.

V. 89.] Ter conatus ibi collo dare brachia circum;
Ter fruſtrà comprenſa manus effugit imago,
Par levibus ventis, volucrique ſimillima ſomno.
Æn. ii. 792. vi. 700.

Τρὶς

Ὡς ἐφάμην· ψυχὴ δὲ ποδώκεος Αἰακίδαο
Φοίτα, μακρὰ βιβῶσα, κατ' ἀσφοδελὸν λειμῶνα,
Γηθοσύνη, ὅ οἱ υἱὸν ἔφην ἀριδείκετον εἶναι.
Αἱ δ' ἄλλαι ψυχαὶ νεκύων καταθνειώτων
Ἕστασαν ἀχνύμεναι, εἴροντο δὲ κήδε' ἑκάστη·
Οἴη δ' Αἴαντος ψυχὴ Τελαμωνιάδαο
Νόσφιν ἀφεστήκει, κεχολωμένη εἵνεκα νίκης,
Τήν μιν ἐγὼ νίκησα, διακριδόμενος παρὰ νηυσὶ,
Τεύχεσιν ἀμφ' Ἀχιλῆος· ἔθηκε δὲ πότνια μήτηρ·
Παῖδες δὲ Τρώων δίκασαν καὶ Παλλὰς Ἀθήνη.
Ὡς δὴ μὴ ὄφελον νικᾶν τοιῷδ' ἐπ' ἀέθλῳ.
Τοίην γὰρ κεφαλὴν ἔνεκ' αὐτῶν γαῖα καθέσχεν,
Αἴανθ', ὃς περὶ μὲν εἶδος, περὶ δ' ἔργα τέτυκτο
Τῶν ἄλλων Δαναῶν, μετ' ἀμύμονα Πηλείωνα.
Τὸν μέν ἑγὼν ἐπέεσσι προσηύδων μειλιχίοισιν.
Αἶαν, πῆ δὴ Τελαμώνος ἀμύμονος, ἦ καὶ ἄρ' ἔμελλες
Οὐδὲ θανὼν λήσεσθαι ἐμοὶ χόλῳ, εἵνεκα τευχέων

V. 138. Ἀσφοδιλὸν] Ἀσφόδιλος μὲν προπαροξυτόνως, τὸ φυτὸν, κατὰ Ἐρέννιον Φίλωνα· ἀσφοδελὸς δὲ ὀξυτόνως, ὁ αὐτὸ τόπος. Eustath.

V. 146. Παῖδες δὲ Τρώων] Multo minore invidiâ ad Trojanos refertur hoc judicium, quam ad Græcorum duces et proceres, uti apud recentiores. Cl. Φυλασσόμενος ὁ Ἀγαμέμνων τὸ δόξαι θατέρῳ χαρίσασθαι τῶν περὶ τῶν Ἀχιλλέως ὅπλων ἀμφισβητέντων, αἰχμαλώτους τῶν Τρώων ἀγαγών, ἠρώτησεν ὑπὸ ὁποίων αὐτῶν οἱ Τρῶες μᾶλλον ἐλυπήθησαν. Εἰπόντων δὲ τὸν Ὀδυσσέα τῶν αἰχμαλώτων, δηλαδὴ ἐκεῖνον εἶναι τὸν ἄριστον κρίναντες, τὸν φοβερώτατον λυπήσαντα τοὺς ἐχθρούς, ἔδοσαν εὐθὺς τῷ Ὀδυσσεῖ τὰ ὅπλα. Schol.

Ibid. Παλλὰς Ἀθήνη] Τουτέστι φρόνησις· καθ' ἣν καὶ περιγίνεται τῷ ἀνδρείῳ Αἴαντος ὁ συνετὸς Ὀδυσσεὺς, καὶ διὰ τοῦτο τῇ Ἀθηνᾷ φίλτατος. Eustath.

Οὐλομένων,

Οὐλομένων; τὰ δὲ πῆμα θεοὶ θέσαν Ἀργείοισιν.
Τοῖος γάρ σφιν πύργος ἀπώλεο· σεῖο δ' Ἀχαιοὶ
Ἴσον Ἀχιλλῆος κεφαλὴ Πηληϊάδαο
Ἀχνύμεθα φθιμένοιο διαμπερές· ἔδέ τις ἄλλος
Αἴτιος, ἀλλὰ Ζεὺς Δαναῶν κρατὸν αἰχμητάων
Ἐκπάγλως ἤχθηρε· τεὴν δ' ἐπὶ μοῖραν ἔθηκεν.
Ἀλλ' ἄγε δεῦρο, ἄναξ, ἵν' ἔπος καὶ μῦθον ἀκούσῃς
Ἡμέτερον· δάμασον δὲ μένος καὶ ἀγήνορα θυμόν.
Ὣς ἐφάμην. ὁ δέ μ' οὐδὲν ἀμείβετο, βῆ δὲ μετ' ἄλλας
Ψυχὰς εἰς Ἐρέβος νεκύων καταθνειώτων.
Καὶ Τιτυὸν εἶδον, γαίης ἐρικυδέος υἱὸν,
Κείμενον ἐν δαπέδῳ· ὁ δ' ἐπ' ἐννέα κεῖτο πέλεθρα·
Γῦπε δέ μιν ἑκάτερθε παρημένω ἧπαρ ἔκειρον

V. 162.] Illa ſolo fixos oculos averſa tenebat—
Tandem propiuit ſeſe, atque inimica refugit
In nemus umbriferum. Æn. vi. 469.

Καὶ φωνῆς δίχα θαυμάζεται πῶς ψιλὴ καθ' ἑαυτὴν ἡ ἔννοια, δι' αὐτὸ τὸ μεγαλόφρον· ὡς τῷ Αἴαντος ἐν νεκυίᾳ σιωπὴ, μέγα καὶ πάντος ὑψηλότερον λόγου. Longin. de Sublim. ſect. ix.

Καὶ τῆς ἄγαν γάρ ἐστί που σιγῆς βάρος. Soph. Antig.

V. 164.] Necnon et Tityon, terræ omniparentis alumnum,
Cernere erat; per tota novem cui jugera corpus
Porrigitur: roſtroque immanis vultur obunco
Immortale jecur tondens, fœcundaque poenis
Viſcera; rimaturque epulis, habitatque ſub alto
Pectore: nec fibris requies datur ulla renatis.
Æn. vi. 595.

V. 165.] Ἐλαῦθα (ἐν τῇ Παιονίᾳ) ἐπὶ τῇ χαράδρᾳ Τιτυοῦ μνῆμά ἐστι, περίοδος μὲν τοῦ χώματος τρίτου μάλιστά που σταδίου. Τὸ δὲ ἔπος ἐστὶν ἐν Ὀδυσσείᾳ. Κείμενον ἐν δαπέδῳ κ. τ. λ. οὐκ ἐπὶ μεγέθει ποιοῦσθαι τοῦ Τιτυοῦ φάσιν, ἀλλ' ὅθεν ὁ Τιτυὸς ἐτέθη, πλέθρα ἐνέα εἶναι τῷ χωρίῳ. Paſſ. lib. x. cap. 4.

Δέρρον ἔσω δύνοντες· ὁ δ' ἐκ ἀπαμύνετο χερσί.
Λητὼ γὰρ ἤλκησε, Διὸς κυδρὴν παράκοιτιν,
Πυθώδ' ἐρχομένην, διὰ καλλιχόρε Πανοπῆος.
Καὶ μὴν Τάνταλον εἰσεῖδον, χαλεπ' ἄλγε' ἔχοντα,
Ἑστάοτ' ἐν λίμνῃ· ἡ δὲ προσέπλαζε γενείῳ.
Στεῦτο δὲ διψάων, πιέειν δ' ἐκ εἶχεν ἐλέσθαι.
Ὁσσάκι γὰρ κύψει ὁ γέρων πιέειν μενεαίνων,
Τοσσάχ' ὕδωρ ἀπολέσκετ' ἀναβροχέν· ἀμφὶ δὲ ποσσὶ
Γαῖα μέλαινα φάνεσκε, κατεζήνασκε δὲ δαίμων.
Δένδρεα δ' ὑψιπέτηλα κατακρῆθεν χέε καρπὸν,
Ὄγχναι, καὶ ῥοιαὶ, καὶ μηλέαι ἀγλαόκαρποι,
Συκαί τε γλυκεραὶ, καὶ ἐλαῖαι τηλεθόωσαι.

V. 167. Δέρρον ἔσω δύνοντες] Barnesius aliique vertunt, "*Rostrum intromittentes.*" Aliter Scholiastes interpretatur, ὑπὸ τὴν σάρκα πιμπλὴν, *subeuntes et fodicantes.* Post quem observat Duportus ad Theophr. "vox δύνειν nunquam transitivè sumitur à Poetâ: "neque unquam δύνειν dixit pro *demittere*, vel *immittere*, "vel *immergere*; sed pro *induere*, vel pro *subire*, vel *ingredi*, in- "transitivè. Δέρρον igitur erit, quod vultures subeunt et ingre- "diuntur, non solum illud quod rostris suis tundunt et fodicant "et dilaniant." Præl. cap. iv.

V. 169. Πανοπῆος] Πανόπη, πόλις Φωκίδος. Schol.

V. 172. Στεῦτο] "Est in isto verbo (ut alibi pluribus) animi "gestientis et aliquid cupidè molientis, per externos gestus indi- "catio—Hoc igitur vult poeta, eam fuisse Tantali seu in pedes "erecti, sive alio quocunque gestu (ut de pugilibus olim loqui "soliti) προθυμίαν, ut ardentissimam sitim præ se ferret." Meric. Casaub. de Hom. Edit. Diss. 1.

V. 174. Τοσσάχ' ὕδωρ] Aquæ subitam absorptionem aptissimè depingit, et quasi ob oculos ponit hic versus. Cl.

V. 175. Καταζήνασκε] Κατεξήραινεν· ἄζη γὰρ ἡ ξηρασία. Schol.

Τῶν

Τῶν ὁπότ' ἰθύσειε ὁ γέρων ἐπὶ χερσὶ μάσασθαι,
Τόσσ' ἄνεμος ῥίπασκε ποτὶ νέφεα σκιόεντα. 180
Καὶ μὴν Σίσυφον εἰσεῖδον, κρατερὰ ἄλγε' ἔχοντα,
Λᾶαν βαστάζοντα πελώριον ἀμφοτέρηφιν.
Ἦτοι ὁ μὲν, σκηριπτόμενος χερσίν τε ποσίν τε,
Λᾶαν ἄνω ὤθεσκε ποτὶ λόφον. ἀλλ' ὅτε μέλλοι
Ἄκρον ὑπερβαλέειν, τότ' ἀποστρέψασκε κραταιὺς· 185
Αὖτις ἔπειτα πέδονδε κυλίνδετο λᾶας ἀναιδής.
Αὖτὰρ ὁγ' ἀψ ὤσασκε τιταινόμενος, κατὰ δ' ἱδρὼς
Ἐῤῥέεν ἐκ μελέων, κονίη δ' ἐκ κρατὸς ὀρώρει.
Τὸν δὲ μετ', εἰσενόησα βίην Ἡρακληείην,

V. 184.] De ſummo hujus loci artificio, quo rem ipſam pulcherrimè depingit, et ob oculos ponit verborum ſonus, rectè Demetrius Phalereus, ſect. lxxii. et Dionyſius Halicarn. xx. "Vocalium concurſus---cum accidit, hiat et interſiſtit et quaſi labo-"rat oratio", Quinct. ix. 4. Sic apud Virgilium ingens riſus et molimen, vocalis longæ non eliſæ hiatû aptiſſimè depingitur:

Ter ſunt conati imponere Pelio Oſſam. Georg. i. 281.

V. 185. Κραταιὺς] Γράφεται δὲ καὶ ἐν δυσὶ λέξεσι, "κραταὶ ἰς," ἤγουν, ἡ κραταία ἰσχὺς τῷ λίθῳ. Euſtath. et Schol. itidem.

V. 186.] ——————adverſo nixantem trudere monte
Saxum: quod tamen a ſummo jam vertice rurſum
Volvitur, et plani raptim petit æquora campi.
Lucret. iii. 1013.

Porrò notandum et hîc, quam pulchrè, et artificioſè lapidis, pondere ſuo de monte devoluti, impetum depingit verſus iſte, pedibus dactylicis totus incedens. Cl.

V. 188. Κονίη] Mericus Caſaubonus vocem κονίη interpretatur Lixivium; "Sudorem multo labore comparatum, et omnibus "membris, capite præcipuè manantem, Lixivio comparari quis "non amplectatur"? Differt. i. Neſcio tamen annon ſimpliciùs hîc intelligas vaporem pulveri ſimilem ex capite exurgentem Cl.

Εἴδωλον· αὐτὸς δὲ μετ' ἀθανάτοισι θεοῖσι
Τέρπεται ἐν θαλίης, καὶ ἔχει καλλίσφυρον Ἥβην,
Παῖδα Διὸς μεγάλοιο καὶ Ἥρης χρυσοπεδίλης.
Ἀμφὶ δέ μιν κλαγγὴ νεκύων ἦν, οἰωνῶν ὡς,
Πάντοσ' ἀτυζομένων. ὁ δ', ἐρεμνῇ νυκτὶ ἐοικώς,
Γυμνὸν τόξον ἔχων, καὶ ἐπὶ νευρῇφιν ὀϊστὸν,
Δεινὸν παπταίνων, αἰεὶ βαλέοντι ἐοικώς.
Σμερδαλέος δέ οἱ ἀμφὶ περὶ στήθεσσιν ἀορτὴρ,
Χρύσεος ἦν τελαμών· ἵνα θέσκελα ἔργα τέτυκτο,
Ἄρκτοι τ', ἀγρότεροί τε σύες, χαροποί τε λέοντες,
Ὑσμῖναί τε, μάχαι τε, φόνοι τ', ἀνδροκτασίαι τε.

ΟΔΥΣΣ. Μ.

Σειρῆνες.

ΤΟΦΡΑ δὲ καρπαλίμως ἐξίκετο νηῦς εὐεργὴς
Νῆσον Σειρήνοιϊν· ἔπειγε γὰρ ἔρος ἀπήμων.
Αὐτίκ' ἔπειτ' ἄνεμος μὲν ἐπαύσατο, ἠδὲ γαλήνη

V. 190.] *Spirius* sive *anima* ad cœlum ascendere, *corpus* aut humo putrescere aut igne comburi, *imago* seu simulachrum, quasi quoddam animæ nuper tenue operculum, ad inferos migrare credebatur.

——————Acherusia templa——————

Quo neque permanent animæ, neque corpora nostra;
Sed quædam simulacra modis pallentia miris. Lucret. i. 121.

V. 197. Ἀορτὴρ] Ὁ τῦ τελαμῶνος κρεμαστὴρ, ἐξ ἧ τὸ ξίφος ἤρτηται. Schol.

V. 3.] Ἐντεῦθεν Ἡσίοδος καὶ τὰς ἀνίμους αὐτὰς θέλγειν ἔφη. Schol.

Ἔπλε-

Ἔπλεο νηνεμίη, κοίμησε δὲ κύματα δαίμων·
Ἀνστάντες δ' ἕταροι νεὸς ἱστία μηρύσαντο,
Καὶ τὰ μὲν ἐν νηὶ γλαφυρῇ βάλον· αἱ δ' ἐπ' ἐρέτμὰ
Ἑζόμενοι λεύκαινον ὕδωρ ξεστῆς ἐλάτῃσιν.
Αὐτὰρ ἐγὼ κηροῖο μέγαν τροχὸν ὀξέϊ χαλκῷ
Τμήθαὶ διατμήξας, χερσὶ σιδαρῆσι πίεζεν·
Αἶψα δ' ἰαίνετο κηρὸς, ἐπεὶ κέλετο μεγάλη ἶς,
Ἠελίου τ' αὐγὴ Ὑπερμενίδαο ἄνακτος·
Ἐξείης δ' ἑτάροισιν ἐπ' ὤατα πᾶσιν ἄλειψα.
Οἱ δ' ἐν νηὶ μ' ἔδησαν ὀμῷ χείρᾳς τε, πόδας τε,
Ὀρθὸν ἐν ἱστοπέδῃ, ἐκ δ' αὐτῆς πείραϊ' ἀνῆψαν.
Αὐτοὶ δ' ἐζόμενοι πολιὴν ἅλα τύπτον ἐρέτμαῖς.
Ἀλλ' ὅτε τόσσον ἀπῆμεν, ὅσον τε γέγωνε βοήσας,
Ῥίμφα διώκοντες, τάσδ' ἐ λάθεν ὠκύαλος νηῦς
Ἐγγύθεν ὀρνυμένη· λιγυρὴν δ' ἔντυνον ἀοιδήν·
Δεῦρ' ἄγ' ἰών, πολύαιν' Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν,
Νῆα κατάστησον, ἵνα νωϊτέρην ὄπ' ἀκούσῃς.

V. 11. Ὑπερίων] ἀπὸ τῆ ὑπὲρ ἡμᾶς εἶναι. Ἡσίοδος δὲ Ὑπερίονος αὐτὸν ἐγενεαλόγησεν. Schol. ad ά. Odyss. ύ. 8. Ὑπερίονα δὲ νομιστέον αὐτὸν, τὸν ὑπεριέμενον ἀεὶ τῆς γῆς. Heracl. ponticus.

V. 19.] Cicero de fin. v. 18. locum hunc ita vertit:

O decus Argolicum, quin puppim flectis, Ulysses,
Auribus ut nostros possis agnoscere cantus?
Nam nemo hæc unquam est transvectus cærula cursu,
Quin prius astiterit, vocum dulcedine captus:
Post variis avido satiatus pectore Musis,
Doctior ad patrias lapsus pervenerit oras.
Nos grave certamen belli, clademque tenemus,
Græcia quam Trojæ divino numine vexit;
Omniaque è latis rerum vestigia terris.

Οὐ

Οὐ γάρ πώ τις τῆδε παρήλασε νηὶ μελαίνῃ,
Πρίν γ' ἡμέων μελίγηρυν ἀπὸ στομάτων ὄπ' ἀκοῦσαι·
Ἀλλ' ὅγε τερψάμενος νεῖται, καὶ πλείονα εἰδώς.
Ἴδμεν γάρ τοι πάνθ', ὅσ' ἐνὶ Τροίῃ εὐρείῃ
Ἀργεῖοι, Τρῶές τε, θεῶν ἰότητι μόγησαν.
Ἴδμεν δ' ὅσσα γένηται ἐπὶ χθονὶ πολυβοτείρῃ.
Ὣς φάσαν, ἰεῖσαι ὄπα κάλλιμον· αὐτὰρ ἐμόν κῆρ
Ἤθελ' ἀκουέμεναι, λῦσαί τ' ἐκέλευον ἑταίρους,
Ὀφρύσι νευστάζων, οἱ δὲ προπεσόντες ἔρεσσον.
Αὐτίκα δ' ἀναστάντες Περιμήδης, Εὐρύλοχός τε,
Πλείοσί μ' ἐν δεσμοῖσι δέον, μᾶλλόν τε πίεζευν.
Αὐτὰρ ἐπειδὴ τάσγε παρήλασαν, οὐδ' ἔτ' ἔπειτα
Φθόγγης Σειρήνων ἠκέομεν, οὐδέ τ' ἀοιδῆς,
Αἶψ' ἀπὸ κηρὸν ἔλυσα ἐμοὶ ἐρίηρες ἑταῖροι,
Ὅν σφιν ἐπ' ὠσὶν ἄλειψ'· ἐμέ τ' ἐκ δεσμῶν ἀνέλυσαν.

V. 24. Πλείονα εἰδώς] "Neque enim vocum ſuavitate videntur, "aut novitate quâdam et varietate cantandi revocare eos ſolitæ, "qui prætervehebantur; ſed quia multa ſe ſcire profitebantur, "ut homines ad earum ſaxa diſcendi cupiditate adhæreſcerent—— "Vidit Homerus probari fabulam non poſſe, ſi cantiunculis tan- "tus vir irretitus teneretur. Scientiam pollicentur, quam non "erat mirum ſcientiæ cupido patriâ eſſe cariorem." Cicero in loc. ſup. citato.

Digitized by Google

ΟΔΥΣΣ. Τ.

Πηνελόπη διαλέγεται Ὀδυσσεῖ ἔτι ἀγνώστῳ.

Ἀ ΥΤᾺΡ ὁ ἐν μεγάρῳ ὑπελείπετο δῖος Ὀδυσσεὺς,
Μνηστήρεσσι φόνον σὺν Ἀθήνῃ μερμηρίζων.
Ἡ δ' ἴεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια,
Ἀρτέμιδι ἰκέλη, ἠδὲ χρυσεῇ Ἀφροδίτῃ·
Τῇ παρὰ μὲν κλισίην πυρὶ κάτθεσαν, ἔνθ' ἄρ' ἔφιζε,
Ἦλθον δὲ δμωαὶ λευκώλενοι ἐκ μεγάροιο·
Ἡ δ' Ὀδυσῆ' ἐνένιπτε Μελανθὼ δεύτερον αὖτις·
Ξεῖν', ἔτι καὶ νῦν ἐνθάδ' ἀνιήσεις διὰ νύκτα;
Ἀλλ' ἔξελθε θύραζε, τάλαν, καὶ δαιτὸς ὄνησο·
Ἢ τάχα καὶ δαλῷ βεβλημένος εἶσθα θύραζε.
Ὣς φάτο· τῆς δ' ἤκουσε περίφρων Πηνελόπεια·
Ἀμφίπολον δ' ἐνένιπτεν, ἔπος τ' ἔφατ', ἐκ τ' ὀνόμαζεν·
Πάντως, θαρσαλέη, κύον ἀδδεὲς, οὔτι με λήθεις
Ἔρδουσα μέγα ἔργον, ὃ σῇ κεφαλῇ ἀναμάξεις·
Πάντα γὰρ εὖ ᾔδησθ', ἐπεὶ ἐξ ἐμεῦ ἔκλυες αὐτῆς,
Ὡς τὸν ξεῖνον ἔμελλον ἐνὶ μεγάροισιν ἐμοῖσιν
Ἀμφὶ πόσει εἴρεσθαι· ἐπεὶ πυκινῶς ἀκάχημαι.
Ἦ ῥα, καὶ Εὐρυνόμην ταμίην πρὸς μῦθον ἔειπεν.
Εὐρυνόμη, φέρε δὴ δίφρον καὶ κῶας ἐπ' αὐτοῦ,
Ὄφρα καθεζόμενος εἴπῃ ἔπος, ἠδ' ἐπακούσῃ
Ὁ ξεῖνος ἐμέθεν· ἐθέλω δέ μιν ἐξερέεσθαι.
Ὣς ἔφαθ'· ἡ δὲ μάλ' ὀτραλέως κατέθηκε φέρουσα·

Δίφρον

Δίφρον ἐΰξεστον, καὶ ἐπ' αὐτῷ κῶας ἔβαλλεν·
Ἔνθα καθέζετ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς.
Τοῖσι δὲ μύθων ἦρχε περίφρων Πηνελόπεια·
Ξεῖνε, τὸ μέν σε πρῶτον ἐγὼν εἰρήσομαι αὐτὴ,
Τίς; πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις, ἠδὲ τοκῆες;
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ὦ γύναι, ἐκ ἄν τίς σε βροτῶν ἐπ' ἀπείρονα γαῖαν
Νεικέοι· ἦ γάρ σευ κλέος οὐρανὸν εὐρὺν ἱκάνει·
Ὡς τε τευ ἢ βασιλῆος ἀμύμονος, ὅς τε θεουδὴς
Ἀνδράσιν ἐν πολλοῖσι καὶ ἰφθίμοισιν ἀνάσσων,
Εὐδικίας ἀνέχῃσι· φέρῃσι δὲ γαῖα μέλαινα
Πυρὲς, καὶ κριθὰς, βρίθῃσι δὲ δένδρεα καρπῷ·
Τίκτει δ' ἔμπεδα μῆλα, θάλασσα δὲ παρέχει ἰχθῦς,
Ἐξ εὐηγεσίης· ἀρετῶσι δὲ λαοὶ ὑπ' αὐτοῦ.
Τῷ ἐμὲ νῦν τὰ μὲν ἄλλα μετάλλα σῷ ἐνὶ οἴκῳ·
Μηδ' ἐμὸν ἐξερέεινε γένος καὶ πατρίδα γαῖαν,
Μή μοι μᾶλλον θυμὸν ἐνιπλήσῃς ὀδυνάων
Μνησαμένῳ· μάλα δ' εἰμὶ πολύστονος· ἠδέ τί με χρὴ
Οἴκῳ ἐν ἀλλοτρίῳ γοόωντά τε μυρόμενόν τε
Ἧσθαι· ἐπεὶ κάκιον πενθήμεναι ἄκριτον αἰεί·
Μή τίς μοι δμωῶν νεμεσήσεται, ἠὲ σύ γ' αὐτή.
Φῇ δὲ δακρυπλώειν βεβαρηότα με φρένας οἴνῳ.
Τὸν δ' ἠμείβετ' ἔπειτα περίφρων Πηνελόπεια·
Ξεῖν', ἤτοι μὲν ἐμὴν ἀρετὴν, εἶδός τε, δέμας τε,
Ὤλεσαν ἀθάνατοι, ὅτε Ἴλιον εἰσανέβαινον
Ἀργεῖοι· μετὰ τοῖσι δ' ἐμὸς πόσις ἦεν Ὀδυσσεύς.

Εἰ

Εἰ κεῖνός γ' ἐλθὼν τὸν ἐμὸν βίον ἀμφιπολεύοι,
Μείζόν κε κλέος εἴη ἐμὸν καὶ κάλλιον ἔτω·
Νῦν δ' ἄχομαι· τόσα γάρ μοι ἐπέσσευεν κακὰ δαίμων·
Ὅσσοι γὰρ νήσοισιν ἐπικρατέουσιν ἄριστοι,
Δουλιχίῳ τε, Σάμῃ τε, καὶ ὑλήεντι Ζακύνθῳ,
Οἵ τ' αὐτὴν Ἰθάκην εὐδείελον ἀμφινέμονται,
Τοί μ' ἀεκαζομένην μνῶνται, τρύχουσι δὲ οἶκον.
Τῷ ἄτε ξείνων ἐμπάζομαι, οὐθ' ἱκετάων,
Οὔτε τι κηρύκων, οἳ δημιοεργοὶ ἔασιν·
Ἀλλ' Ὀδυσῆα πόθεῦσα, φίλον κατὰ θυμὸν ὄρωρε·
Οἱ δὲ γάμον σπεύδουσιν· ἐγὼ δὲ δόλους τολυπεύω·
Ἀλλά μοι καὶ ὧς εἰπὲ θεὸν γένος, ὁππόθεν ἐσσί.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
Οὐκ ἔτ' ἀπολλήξεις τὸν ἐμὸν γόνον ἐξερέουσα;
Ἀλλ' ἔκ τοι ἐρέω· ἦ μέν μ' ἀχέεσσί γε δώσεις
Πλείοσιν, ἢ ἔχομαι· ἡ γὰρ δίκη, ὁππότε πάτρης
Ἧς ἀπέησιν ἀνὴρ τόσσον χρόνον, ὅσσον ἐγὼ νῦν,
Πολλὰ βροτῶν ἐπὶ ἄστε ἀλώμενος, ἄλγεα πάσχων,
Ἀλλὰ καὶ ὧς ἐρέω, ὃ μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς.
Κρήτη τις γαῖ' ἐστὶ, μέσῳ ἐνὶ οἴνοπι πόντῳ,
Καλὴ καὶ πίειρα, περιῤῥύτος· ἐν δ' ἄνθρωποι
Πολλοὶ, ἀπειρέσιοι, καὶ ἐννήκοντα πόληες.
Ἄλλη δ' ἄλλων γλῶσσα μεμιγμένη· ἐν μὲν Ἀχαιοὶ,
Ἐν δ' Ἐτεόκρητες μεγαλήτορες, ἐν δὲ Κύδωνες,
Δωριέες τε τριχάϊκες, δῖοί τε Πελασγοί.

Τοῖσι δ' ἐνὶ Κνωσσὸς μεγάλη πόλις· ἔνθα τε Μίνως
Ἐννέωρος βασίλευε Διὸς μεγάλου ὀαριστὴς,
Πατρὸς ἐμοῖο πατήρ, μεγαθύμου Δευκαλίωνος.
Ἔνθ' Ὀδυσῆα ἐγὼν ἰδόμην, καὶ ξείνια δῶκα·
Καὶ γὰρ τὸν Κρήτηνδε κατήγαγεν ἰς ἀνέμοιο,
Ἰλιόθεν Τροίηνδε, παραπλάγξασα Μαλειῶν.
Τὸν μὲν ἐγὼ πρὸς δώματ' ἄγων εὖ ἐξείνισσα,
Ἐνδυκέως φιλέων, πολλῶν κατὰ οἶκον ἐόντων·
Καί οἱ, τοῖς τ' ἄλλοις ἑτάροις, οἳ ἅμ' αὐτῷ ἕποντο,
Δημόθεν ἄλφιτα δῶκα, καὶ αἴθοπα οἶνον ἀγείρας,
Καὶ βῆς ἱρεύσασθαι· ἵνα πλησαίατο θυμὸν.
Ἴσκεν, ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα·
Τῆς δ' ἄρ' ἀκηέσης ῥέε δάκρυα, τήκετο δὲ χρώς,
Κλαιέσης ἠὸν ἄνδρα πατήμενον· αὐτὰρ Ὀδυσσεὺς
Θυμῷ μὲν γοόωσαν ἐὴν ἐλέαιρε γυναῖκα,
Ὀφθαλμοὶ δ' ὡσεὶ κέρα ἔσασαν, ἠὲ σίδηρος
Ἀτρέμας ἐν βλεφάροισι· δόλῳ δ' ὅγε δάκρυα κεῦθεν.

Digitized by Google

Ο Δ Υ Σ Σ. Ψ.

Ἀναγνωρίζεται ὁ Ὀδυσσεὺς ὑπὸ τῆς Γυναικός.

Ὣς φάτο· τῆς δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ,
Σήματ' ἀναγνούσης, τά οἱ ἔμπεδα πέφραδ' Ὀδυσσεύς·
Τῆς δ' ἄρ ἀκουούσης ῥέε δάκρυα, τήκετο δὲ χρώς·
Ὡς δὲ χιὼν κατατήκετ' ἐν ἀκροπόλοισιν ὄρεσσιν,
Ἥν τ' Εὖρος κατέτηξεν, ἐπὴν Ζέφυρος καταχεύοι·
Τηκομένης δ' ἄρα τῆς ποταμοὶ πλήθουσι ῥέοντες·
Ὣς τῆς τήκετο καλὰ παρήϊα δακρυχεούσης.
Δακρύσασα δ' ἔπειτ' ἰθὺς δράμεν, ἀμφὶ δὲ χεῖρας
Δειρῇ βάλλ' Ὀδυσῆϊ, κάρη δ' ἔκυσ'· αὐτὰρ Ὀδυσσεὺς
Κλαῖεν ἔχων ἄλοχον θυμαρέα, κέδν' εἰδυῖαν.
Ὡς δ' ὅτ' ἂν ἀσπασίως γῆ νηχομένοισι φανείη,
Ὧν τε Ποσειδάων εὐεργέα νῆ' ἐνὶ πόντῳ
Ῥαίσῃ ἐπειγομένην ἀνέμῳ καὶ κύματι πηγῷ·
Παῦροι δ' ἐξέφυγον πολιῆς ἁλὸς ἤπειρόνδε
Νηχόμενοι, πολλὴ δὲ περὶ χροῒ τέτροφεν ἅλμη·
Ἀσπάσιοι δ' ἐπέβαν γαίης, κακότητα φυγόντες·

V. 2.] Cum Penelope Ulyſſem rediiſſe nondum crederet, ille, adhuc ei incognitus, quædam de nuptialis thalami ſitu memoravit: quæ, cum nemini præter ipſam ac virum eſſent nota, ſatis certo ei erant indicio, Ulyſſem re verâ jam adeſſe, qui iſta cognoſceret ac diceret.

V. 5. Κατέτηξεν] Quidam volunt hic legendum κατέπηξεν: ſed nihil immutatione opus.

Digitized by Google

Ὡς ἄρα τῇ ἀσπασὸς ἔην πόσις εἰσοροώσῃ.
Δειρῆς δ' ὕπω πάμπαν ἀφίελο πήχεε λευκώ.
Καί νύ κ' ὀδυρομένοισι φάνη ῥοδοδάκτυλος ἠώς,
Εἰ μὴ ἄρ' ἄλλ' ἐνόησε Θεὰ γλαυκῶπις Ἀθήνη.
Νύκλα μὲν ἐν περάτῃ δολιχὴν σχέθεν, ἠῶ δ' αὖτε
Ῥῦσατ' ἐπ' Ὠκεανῷ χρυσόθρονον, ᾗδ' ἔα ἵππους
Ζεύγνυσθ' ὠκύποδας, φάος ἀνθρώποισι φέροντας,
Λάμπον καὶ Φαέθονθ', οἵ τ' ἠῶ πῶλοι ἄγυσι.

ΟΔΥΣΣ. Ω.

Ἀναγνωρισμὸς Ὀδυσσέως γίνεται πρὸς τὸν ἑαυτῦ πατέρα Λαέρτην.

Τὸν δ' οἷον πατέρ' εὗρεν ἐϋκλιμένῃ ἐν ἀλωῇ
Λισρεύονλα φυτόν· ῥυπόωνλα δὲ ἕσο χιτῶνα,
Ῥαπτὸν, ἀεικέλιον· περὶ δὲ κνήμῃσι βοείας
Κνημῖδας ῥαπτὰς δέδελο, γραπτῦς ἀλεείνων·
Χειρίδας τ' ἐπὶ χερσὶ, βάτων ἕνεκ'· αὐτὰρ ὕπερθεν
Αἰγείην κυνέην κεφαλῇ ἔχε, πένθος ἀέξων.
Τὸν δ' ὡς ἔν ἐνόησε πολύτλας δῖος Ὀδυσσεὺς
Γήραϊ τειρόμενον, μέγα δὲ φρεσὶ πένθος ἔχοντα,
Στὰς ἄρ' ὑπὸ βλωθρὴν ὄγχνην κατὰ δάκρυον εἶβε.

V. 21. Περάτῃ] Ἤδη πρὸς τῷ πέρατι καὶ τῷ τέλει ἔσαν. Sch.
V. 2. Λισρεύονλα] Περιξύονλα καὶ περισκάπλονλα. Sch.

Μερμήριξε

Μερμήριξε δ' ἔπειτα καὶὰ φρένα καὶ καὶὰ θυμὸν,
Κῦσαι καὶ περιφῦναι ἑὸν πατέρ', ἠδὲ ἕκαστα
Εἰπεῖν, ὡς ἔλθοι καὶ ἵκοιτ' ἐς πατρίδα γαῖαν·
Ἦ πρῶτ' ἐξερέοιτο, ἕκαστά τε πειρήσαιτο.
Ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
Πρῶτον κερτομίοις ἐπέεσσιν πειρηθῆναι.
Τὰ φρονέων ἰθὺς κίεν αὐτῆ δῖος Ὀδυσσεύς.
Ἦτοι ὁ μὲν κατ' ἔχων κεφαλὴν, φῦλον ἀμφελάχαινε·
Τὸν δὲ παρισάμενος προσεφώνεε φαίδιμος υἱός.
Ὦ γέρον, εἶπ' ἄγε μοι, καὶ ἀτρεκέως καλάλεξον
Τῆυ δμὼς εἶς ἀνδρῶν; τεῦ δ' ὄρχαλον ἀμφιπολεύεις;
Καί μοι τῆτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ,
Εἰ ἐτέον γ' Ἰθάκην τήνδ' ἱκόμεθ', ὥς μοι ἔειπεν
Οὗτος ἀνὴρ νῦν δὴ ξυμβλήμενος ἐνθάδ' ἰόνλι,
Οὔτι μάλ' ἀρτίφρων· ἐπεὶ ὃ τόλμησεν ἕκαστα
Εἰπεῖν, ἠδ' ἐπακῦσαι ἐμὸν ἔπος, ὡς ἐρέεινον
Ἀμφὶ ξείνῳ ἐμῷ, εἴπερ ζώει τε καὶ ἐσὶ,
Ἦ ἤδη τέθνηκε καὶ εἰν ἀΐδαο δόμοισιν.
Εὔχετο δ' ἐξ Ἰθάκης γένος ἔμμεναι αὐτὰρ ἔφασκε
Λαέρ]ην Ἀρκεισιάδην πατέρ' ἔμμεναι αὐτῆ.
Τὸν δ' ἠμείβε] ἔπειτα πατὴρ καὶὰ δάκρυον εἴβων.
Ξεῖν', ἦτοι μὲν γαῖαν ἱκάνεις, ἣν ἐρεείνεις.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως καλάλεξον,
Πόσσον δὴ ἔτος ἐσὶν ὅτε ξείνισσας ἐκεῖνον

V. 15. Κερτομίοις] Τὸ κερτομεῖν, ὡ τραχύτητα ἔχον ὑβριστικὴν, ἢ ὀνειδιστικὴν, ἀλλ' εἰσήγησιν φόβε ψευδῆς. Eustath. ad Iliad. ω 649.

Σὸν

Σὸν ξεῖνον δύσηνον, ἐμὸν παῖδ', εἴ ποτ' ἔην γε,
Δύσμορον; οὐ σφι τῆλε φίλων καὶ πατρίδος αἴης,
Ἦέ που ἐν πόντῳ φάγον ἰχθύες, ἢ ἐπὶ χέρσου,
Θηρσὶ καὶ οἰωνοῖσιν ἕλωρ γένετ'· οὐδέ ἑ μήτηρ
Κλαῦσε περιςείλασα, πατὴρ θ', οἵ μιν τεκόμεσθα.
Οὐδ' ἄλοχος πολύδωρος ἐχέφρων Πηνελόπεια
Κώκυσ' ἐν λεχέεσσι φίλον πόσιν, ὡς ἐπέοικεν,
Ὀφθαλμὼς καθελοῦσα· τὸ γὰρ γέρας ἐςὶ θανόντων.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς.
Νῦν μὲν Ὀδυσσῆϊ τόδε δὴ πέμπλον ἔτος ἐςὶν,
Ἐξ· ἔ κεῖθεν ἔβη, καὶ ἐμῆς ἀπελήλυθε πάτρης·
Χαῖρε δὲ κεῖνος ἰών· θυμὸς δ' ἔτι νωῖν ἐώλπει
Μίξεσθαι ξενίῃ, ἠδ' ἀγλαὰ δῶρα διδώσειν.
Ὧν φάτο· τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα·
Ἀμφοτέρῃσι δὲ χερσὶν ἐλὼν κόνιν αἰθαλόεσσαν
Χεύατο κακκεφαλῆς πολιῆς, ἀδινὸν γοναχίζων.

V. 34. Εἴ ποτ' ἔην γε] "Si quidem id meminisse fas est: filius "quidem mihi erat, quam dolet mihi illúm jam non esse!" Eust. ad Iliad. γ'. 180. τὸ δὲ, εἴ ποτ' ἔην γε, παραῦνει τὸν ἐπὶ τῇ μνείᾳ τοῦ ἀνδρὸς λυπούμενον κατ' αὐτῆς· οἱονεὶ λέγοι, ὡς ὐ νῦν ἐςιν, ἀλλὰ πάλε ἦν.

V. 35.] Heu terrâ ignotâ, canibus data præda Latinis
Alitibusque jaces; nec te tua funera mater
Produxi, pressive oculos. Aen. ix. 485.

V. 36.——————aut gurgite mersum
Unda ferat, piscesque impasti vulnera lambent.
Aen. x. 559.

V. 49.] Canitiem immundo deformat pulvere, et ambas
At cœlum tendit palmas. Aen. x. 844.

Τῶ

Τῷ δ' ὠρίνετο θυμὸς, ἀνὰ ῥῖνας δέ οἱ ἤδη
Δριμὺ μένος πρὸτυψε, φίλον πατέρ' εἰσορόωντι·
Κῦσε δέ μιν περιφὺς ἐπιάλμενος, ἠδὲ προσηύδα.
Κεῖνος μέν τοι ὅδ' αὐτὸς ἐγὼ, πάτερ, ὃν σὺ μεταλλᾷς·
Ἦλυθον εἰκοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν·
Ἀλλ' ἴσχεο κλαυθμοῖο, γόοιό τε δακρυόεντος.
Ὡς φάτο; τῷ δ' αὐτῷ λύτο γυῖα καὶ φίλον ἦτορ·
Ἀμφὶ δὲ παιδὶ φίλῳ βάλε πήχεε· τὸν δὲ προτὶ οἷ
Εἶλεν ἀποψύχοντα πολύτλας δῖος Ὀδυσσεύς.

V. 50. Ἀνὰ ῥῖνας] Ὁ δὴ προπάσχει, ὡς τὰ πολλὰ, ὁ μέλλων δακρύειν. Eustath.

ΗΣΙΟΔΟΥ.

Digitized by Google

ΗΣΙΟΔΟΥ.

Ἐκ τῆς τῦ Ἡσιόδε Θεογονίας.

ΜΟΥΣΆΩΝ Ἑλικωνιάδων ἀρχώμεθ' ἀείδειν,
αἵθ' Ἑλικῶνος ἔχυσιν ὄρος μέγα τε ζάθεόν τε,
Καί τε περὶ κρήνην ἰοειδέα πόσσ' ἁπαλοῖσιν
Ὀρχεῦνται, καὶ βωμὸν ἐρισθενέος Κρονίωνος·
Καί τε λοεσσάμεναι τέρενα χρόα Περμησσοῖο,
Ἢ Ἱππουκρήνης, ἢ Ὀλμειῦ ζαθέοιο,
Ἀκροτάτῳ Ἑλικῶνι χορὺς ἐνεποιήσαντο
Καλύς, ἱμερόενθας· ἐπερρώσαντο δὲ ποσσίν.
Ἔνθεν ἀπορνύμεναι, κεκαλυμμέναι ἠέρι πολλῷ,
Ἐννύχιαι ςεῖχον, περικαλλέα ὄσσαν ἰεῖσαι,
Ὑμνεῦσαι Δία τ' αἰγίοχον, καὶ πότνιαν Ἥρην
Ἀργείην, χρυσέοισι πεδίλοις ἐμβεβαυῖαν,
Κούρην τ' αἰγιόχοιο Διὸς γλαυκῶπιν Ἀθήνην,
Φοῖβόν τ' Ἀπόλλωνα, καὶ Ἄρτεμιν ἰοχεαιραν,
Ἠδὲ Ποσειδάωνα γαιήοχον, ἐννοσίγαιον,
Καὶ Θέμιν αἰδοίην, ἑλικοβλέφαρόν τ' Ἀφροδίτην,
Ἥβην τε χρυσοςέφανον, καλήν τε Διώνην,
Ἠώ τ', Ἠέλιόν τε μέγαν, λαμπράν τε Σελήνην,
Λήτω τ', Ἰάπετόν τε, ἰδὲ Κρόνον ἀγκυλομήτην,

Γαῖάν

Γαῖάν τ', Ὠκεανόν τε μέγαν, καὶ Νύκτα μέλαιναν
Ἄλλων τ' ἀθανάτων ἱερὸν γένος αἰὲν ἐόντων.
Αἵ νύ ποθ' Ἡσίοδον καλὴν ἐδιδαξαν ἀοιδὴν,
Ἄρνας ποιμαίνονθ' Ἑλικῶνος ὕπο ζαθέοιο.
Τόνδε δέ με πρώτιστα θεαὶ πρὸς μῦθον ἔειπαν
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο·
ΠΟΙΜΕΝΕΣ ἄγραυλοι, κάκ' ἐλέγχεα, γαστέρες οἶον,
Ἴδμεν ψεύδεα πολλὰ λέγειν ἐτύμοισιν ὁμοῖα,
Ἴδμεν δ', εὖτ' ἐθέλωμεν, ἀληθέα μυθήσασθαι.
Ὣς ἔφασαν κοῦραι μεγάλου Διὸς ἀρτιέπειαι·
Καί μοι σκῆπτρον ἔδον, δάφνης ἐριθηλέος ὄζον
Δρέψασθαι, θηητόν· ἐνέπνευσαν δέ μοι αὐδὴν
Θείην, ὥςε κλύοιμι τά τ' ἐσσόμενα, πρό τ' ἐόντα·
Καί με κέλονθ' ὑμνεῖν μακάρων γένος αἰὲν ἐόντων·
Σφᾶς δ' αὐτὰς πρῶτόν τε καὶ ὕστερον αἰὲν ἀείδειν.

Ἐκ τῆ Ἡσιόδε Ἐργ. καὶ Ἡμερ.

Ὡς ὁμόθεν γεγάασι θεοὶ θνητοί τ' ἄνθρωποι,
Χρύσεον μὲν πρώτιστα γένος μερόπων ἀνθρώπων
Ἀθάνατοι ποίησαν, ὀλύμπια δώματ' ἔχοντες.
Οἱ μὲν ἐπὶ Κρόνε ἦσαν, ὅτ' οὐρανῷ ἐμβασίλευεν.
Ὡς δὲ θεοὶ ζώεσκον ἀκηδέα θυμὸν ἔχοντες,
Νόσφιν ἄτερθε πόνων καὶ οἰζύος. οὐδέ τι δειλὸν
Γῆρας ἐπῆν· αἰεὶ δὲ πόδας καὶ χεῖρας ὁμοῖοι
Τέρποντ' ἐν θαλίῃσι, κακῶν ἔκλοσθεν ἁπάντων.
Θνῆσκον δ' ὡς ὕπνῳ δεδμημένοι· ἐσθλὰ δὲ πάντα
Τοῖσιν ἔην· καρπὸν δ' ἔφερε ζείδωρος ἄρουρα
Αὐτομάτη, πολλόν τε καὶ ἄφθονον· οἱ δ' ἐθελημοὶ
Ἥσυχοι ἔργα νέμοντο σὺν ἐσθλοῖσιν πολέεσσιν.

Αὐτὰρ ἐπειδὴ τῆτο γένος καλὰ γαῖα κάλυψε,
Οἱ μὲν δαίμονες εἰσι, Διὸς μεγάλε διὰ βυλὰς,
Ἐσθλοὶ, ἐπιχθόνιοι, φύλακες θνητῶν ἀνθρώπων·
Οἵ ῥα φυλάσσυσίν τε δίκας καὶ σχέτλια ἔργα,
Ἠέρα ἐσσάμενοι, πάντη φοιτῶντες ἐπ' αἶαν,
Πλυτοδόται· Καὶ τῆτο γέρας βασιλήϊον ἔσχον.

Δεύτερον αὖτε γένος, πολὺ χειρότερον, μετόπισθεν
Ἀργύρεον ποίησαν ὀλύμπια δώματ' ἔχοντες,

V. 18. Βασιλήϊοι] Cur Dæmonibus tribuatur regius honor, hanc rationem affert Plutarchus in libro de defectu oraculorum, quia βασιλικὸν τὸ εὖ ποιεῖν. Gravius.

Χρυσέῳ

Χρυσέῳ ἔτε φυὴν ἐναλίγκιον, ἔτε νόημα·
Ἀλλ' ἑκαλὸν μὲν παῖς ἔτεα παρὰ μητέρι κεδνῇ
Ἐτρέφετ' ἀτάλλων μέγα νήπιος ᾧ ἔνι οἴκῳ·
Ἀλλ' ὅταν ἡβήσειε, καὶ ἥβης μέτρον ἵκοιτο,
Παυρίδιον ζώεσκον ἐπὶ χρόνον, ἄλγε' ἔχοντες
Ἀφραδίῃσι. Ὕβριν γὰρ ἀτάσθαλον οὐκ ἐδύναντο
Ἀλλήλων ἀπέχειν, οὐδ' ἀθανάτους θεραπεύειν
Ἤθελον, οὐδ' ἔρδειν μακάρων ἱεροῖς ἐπι βωμοῖς,
Ἣ θέμις ἀνθρώποισι κατ' ἤθεα. Τοὺς μὲν ἔπειτα
Ζεὺς Κρονίδης ἔκρυψε, χολέμενος, οὕνεκα τιμὰς
Οὐκ ἐδίδυν μακάρεσσι θεοῖς, οἳ Ὄλυμπον ἔχουσιν.
Αὖτὰρ ἐπεὶ καὶ τοῦτο γένος καλὰ γαῖα κάλυψε,
Τοὶ μὲν ὑποχθόνιοι μάκαρες θνητοὶ καλέονται
Δεύτεροι· ἀλλ' ἔμπης τιμὴ καὶ τοῖσιν ὀπηδεῖ.
Ζεὺς δὲ πατὴρ τρίτον ἄλλο γένος μερόπων ἀνθρώπων
Χαλκεῖον ποίησε, οὐκ ἀργυρῷ οὐδὲν ὁμοῖον,
Ἐκ μελιᾶν, δεινόν τε καὶ ὄβριμον, οἷσιν Ἄρηος
Ἔργ' ἔμελε στονόεντα, καὶ ὕβριες· οὐδέ τι σῖτον
Ἤσθιον, ἀλλ' ἀδάμαντος ἔχον κραλερόφρονα θυμὸν,
Ἄπλατοι· μεγάλη δὲ βίη, καὶ χεῖρες ἄαπτοι
Ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν.
Τοῖς δ' ἦν χάλκεα μὲν τεύχεα, χάλκεοι δέ τε οἶκοι,

V. 22.] Poeta maternam educationem depravationi hujus sæculi ascribit, ex quo apparet longè deteriorem esse hanc ætatem priore aureâ, quia pueri diu in Gynæceis latitent, et in sinu matrum adolescant; quâ muliebri edùcatione redderentur molles, imperiti, effoeminati. Inde ait pueros evadere μάλα νηπίους, *valde rudes*. Quo nomine Plato quoque educationem filiorum Regum Persidos reprehendit, Idem.

Χαλκῷ δ' εἰργάζοντο· μέλας δ' οὐκ ἔσκε σίδηρος.
Καὶ τοὶ μὲν χείρεσσιν ὑπὸ σφετέρῃσι δαμέντες
Βῆσαν ἐς εὐρώεντα δόμον κρυερῆ Ἀΐδαο,
Νώνυμοι· θάνατος δὲ καὶ ἐκπάγλους περ ἐόντας
Εἷλε μέλας· λαμπρὸν δ' ἔλιπον φάος ἠελίοιο.
Αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψεν,
Αὖθις ἔτ' ἄλλο τέταρτον ἐπὶ χθονὶ πουλυβοτείρῃ
Ζεὺς Κρονίδης ποίησε, δικαιότερον καὶ ἄρειον,
Ἀνδρῶν ἡρώων θεῖον γένος, οἳ καλέονται
Ἡμίθεοι προτέρη γενεῇ, κατ' ἀπείρονα γαῖαν.
Καὶ τοὺς μὲν πόλεμός τε κακὸς καὶ φύλοπις αἰνή,
Τοὺς μὲν ἐφ' ἑπταπύλῳ Θήβῃ Καδμηΐδι γαίῃ,
Ὤλεσε μαρναμένους μήλων ἕνεκ' Οἰδιπόδαο·
Τοὺς δὲ καὶ ἐν νήεσσιν ὑπὲρ μέγα λαῖτμα θαλάσσης
Ἐς Τροίην ἀγαγών, Ἑλένης ἕνεκ' ἠϋκόμοιο·
Ἔνθ' ἤτοι τοὺς μὲν θανάτου τέλος ἀμφεκάλυψε.
Τοῖς δὲ δίχ' ἀνθρώπων βιοτὰν καὶ ἤθε' ὀπάσσας
Ζεὺς Κρονίδης κατένασσε πατὴρ ἐς πείρατα γαίης.
Καὶ τοὶ μὲν ναίουσιν, ἀκηδέα θυμὸν ἔχοντες,
Ἐν μακάρων νήσοισι, παρ' Ὠκεανὸν βαθυδίνην,
Ὄλβιοι ἥρωες· τοῖσι μελιηδέα καρπὸν
Τρὶς ἔτεος θάλλοντα φέρει ζείδωρος ἄρουρα.

V. 45.] Κρυερὸς ferè explicatur *frigidus*, minùs rectè: Κρυερὸς enim φρικτὸν, μισητὸν, ἀναιδὲς, φοβερὸν, ἐλεεινὸν, οἰκτρὸν, δεινὸν, χαλεπὸν, σκυθρωπὸν, κακὸν, δύσχερες. Hesych. Sic et passim apud Homerum et Hesiodum κρυόεις.

V. 59. Ἤθεα] Lucretius *quietes* vocat ἤθεα. Scalig.

Μηκέτ'

Μηκέτ' ἔπειτ' ὤφελον ἐγὼ πέμπτοισι μετεῖναι
Ἀνδράσιν, ἀλλ' ἢ πρόσθε θανεῖν, ἢ ἔπειτα γενέσθαι.
Νῦν γὰρ δὴ γένος ἐστὶ σιδήρεον· οὐδέ ποτ' ἦμαρ
Παύσονται καμάτου καὶ ὀϊζύος, οὐδέ τι νύκτωρ,
Φθειρόμενοι· χαλεπὰς δὲ θεοὶ δώσουσι μερίμνας.
Ἀλλ' ἔμπης καὶ τοῖσι μεμίξεται ἐσθλὰ κακοῖσι.
Ζεὺς δ' ὀλέσει καὶ τοῦτο γένος μερόπων ἀνθρώπων,
Εὖτ' ἂν γεινόμενοι πολιοκρόταφοι τελέθωσιν.
Οὐδὲ πατὴρ παίδεσσιν ὁμοίιος οὐδέ τι παῖδες,
Οὐδὲ ξεῖνος ξεινοδόκῳ, καὶ ἑταῖρος ἑταίρῳ,
Οὐδὲ κασίγνητος φίλος ἔσσεται, ὡς τὸ πάρος περ.
Αἶψα δὲ γηράσκοντας ἀτιμήσουσι τοκῆας,
Χειροδίκαι· ἕτερος δ' ἑτέρῳ πόλιν ἐξαλαπάξει.
Οὐδέ τις εὐόρκῳ χάρις ἔσσεται, οὔτε δικαίῳ,

V. 66.] Optat Poeta vel ante occidisse, quàm quinta ætas ingruerit, vel post aliâ ætate nasci, quum meliora scilicet tempora refloresceret: Persuasum enim habebant Poetæ et plerique Philosophi, præciputè Platonici, exactâ hâc miserâ ætate παλιγγενεσίαν futuram, omniaque tum reditura in suos ortus et pristinam felicitatem. *Grævius.*

V. 68.] Ex plurimis scriptorum locis docet Grævius, hoc futurum παύσονται, et sequentia, δώσουσι, μεμίξεται, ἔσσεται, ἀτιμήσουσι, &c. pro præsentibus frequentativis habenda esse: ἀτιμήσουσι, ἀτιμᾷ φιλοῦσι, itemque in cæteris.

V. 72.] Γεινόμενοι sunt τεχθέντες. Sic autem verte: *Quum vix nati canescant*, hoc est, senescant quum vix lucem aspexerunt. Hinc paulò post αἶψα γηράσκοντας τοκῆας appellat. Conqueritur de vitæ brevitate, cui quintæ hujus ætatis homines sunt obnoxii, quòd celeriter tacitis consenescant annis. *Grævius.*

V. 73. Ὁμοίιος] Glossæ MS. Vossii. ὁμοίιος, ὁμογνώμων. Græci magistri, ὁμοίιος, ὁμογνωμονικὸς, σύμφωνος. *Idem.*

Οὔτ'

Οὔτ' ἀγαθοῦ· μᾶλλον δὲ κακῶν ῥέκτῆρα, καὶ ὕβριν
Ἀνέρα τιμήσουσι. δίκη δ' ἐν χερσὶ, καὶ αἰδὼς,
Οὐκ ἔσται. βλάψει δ' ὁ κακὸς τὸν ἀρείονα φῶτα,
Μύθοισι σκολιοῖς ἐνέπων, ἐπὶ δ' ὅρκον ὀμεῖται·
Ζῆλος δ' ἀνθρώποισιν ὀϊζυροῖσιν ἅπασιν,
Δυσκέλαδος, κακόχαρτος, ὁμαρτήσει στυγερώπης.
Καὶ τότε δὴ πρὸς Ὄλυμπον ἀπὸ χθονὸς εὐρυοδείης,
Λευκοῖσιν φαρέεσσι καλυψαμένω χρόα καλὸν,
Ἀθανάτων μετὰ φῦλον ἴτον, προλιπόντ' ἀνθρώπους,
Αἰδὼς καὶ Νέμεσις· τὰ δὲ λείψεται ἄλγεα λυγρὰ
Θνητοῖς ἀνθρώποισι, κακοῦ δ' οὐκ ἔσσεται ἀλκή.

V. 79.] Ὕβριν pro ὑβριστὴν vel ὑβρίζοντα. abstractum pro concreto: figura orationis apud veteres vulgatissima.

Ἐκ τῆς Ἀσπίδος Ἡρακλέους.

Ἐν δ' Ἄρεος βλοσυροῖο ποδώκεες ἔστασαν ἵπποι
Χρύσεοι. ἐν δὲ καὶ αὐτὸς ἐναρφόρος οὔλιος Ἄρης,
Αἰχμὴν ἐν χείρεσσιν ἔχων, πρυλέεσσι κελεύων,
Αἵματι φοινικόεις, ὡσεὶ ζωοὺς ἐναρίζων,
Δίφρῳ ἐμβεβαὼς· παρὰ δὲ Δεῖμός τε Φόβος τε
Ἔστασαν, ἱέμενοι πόλεμον καταδύμεναι ἀνδρῶν.
Ἐν δὲ Διὸς θυγάτηρ Ἀγελείη Τριτογένεια,

V. 7. Ἀγελείη] Cave vertas, *prædatrix Tritogenia*, cum interpretibus. Retinendum Græcum epitheton *Agelea*: quâ significatur bellicosa Minerva. *Suidas*; Ἀγελείη ἡ Ἀθηνᾶ, ἡ ἀπὸ τοῦ ἄγειν λείαν, τουτέστι, στρατιωτική. *Grævius*.

Τῇ

Τῇ ἰκέλη, ὡσεί τε μάχην ἐθέλουσα κορύσσειν,
Ἔγκος ἔχουσ' ἐν χερσὶ, χρυσείην τε τρυφάλειαν,
Αἰγίδα τ' ἀμφ' ὤμοις· ἐπὶ δ' ὄχεο φύλοπιν αἰνήν. 10
Ἐν δ' ἦν ἀθανάτων ἱερὸς χορός. Ἐν δ' ἄρα μέσσῳ
Ἱμερόεν κιθάριζε τι Λητοῦς καὶ Διὸς υἱὸς
Χρυσείῃ φόρμιγγι. Θεῶν θ' ἕδος, ἀγνὸς Ὄλυμπος.
Ἐν δ' ἀγορὴ, περὶ δ' ὅλβος ἀπείριτος ἐξεφάνωτο
Ἀθανάτων ἐν ἀγῶνι. Θεαὶ δ' ἐξῆρχον ἀοιδῆς 15
Μοῦσαι Πιερίδες, λιγυὺ μελπομέναις εἰκυῖαι.
Ἐν δὲ λιμὴν εὔορμος ἁμαιμακέτοιο θαλάσσης
Κυκλοτερὴς ἐτέτυκτο πανέφθε κασσιτέροιο,
Κλυζομένῳ ἴκελος· πολλοί γε μὲν ἀμμέσον αὐτῆς
Δελφῖνες τῇ καὶ τῇ ἐθύνεον ἰχθυάοντες· 20
Τῶν ὑπὸ χάλκειοι τρέον ἰχθύες. Αὐτὰρ ἐπ' ἀκταῖς
Ἧστο ἀνὴρ ἁλιεὺς δεδοκημένος, εἶχε δὲ χερσὶν
Ἰχθύσιν ἀμφίβληστρον, ἀποῤῥίψοντι ἐοικώς.
Ἄνδρες ἐμαρνάσθην, πολεμήϊα τεύχε' ἔχοντες·
Τοὶ μὲν, ἀπὸ σφετέρης πόλιος, σφετέρων τε τοκήων 25

V. 8.] Μάχην κορύσσειν est *accendere prælium*. Sic alibi apud Hesiodum, et Pindarum, Isthm. viii. Κορύσσειν sæpe generaliter est *augere*. Κορύσσειν, αὔξειν. *Hesych. Grævius.*

V. 13. Ἀγνὸς Ὄλυμπος] Elegantissimè hunc locum emendat D. Heinsius, qui legit ἄγνυτ' Ὄλυμπος, *frangebatur*, i. e. *resonabat Olympus*. ἄγνυμι, et *frango* vel *rumpo* apud Latinos, sæpissimè ita ad sonum referuntur.

V. 15. Mavult Grævius hunc locum ita distingui.

Ἀθανάτων· ἐν ἀγῶνι θεαὶ δ' ἐξῆρχον ἀοιδῆς.

male vero videtur: cum δὲ secundum ferè in sententiâ locum habeat.

Λοιγὸν

Λοιγὸν ἀμύνοντες· τοὶ δὲ, πραθέειν μεμαῶτες.
Πολλοὶ μὲν πέλο, πλέονες δ' ἔτι δῆριν ἔχοντες
Μάρναντ' αἱ δὲ γυναῖκες ἐϋδμήτων ἔπι πύργων
Χάλκεον ὀξὺ βόων, κατὰ δ' ἐδρύπτοντο παρειὰς,
Ζωῆσιν ἴκελαι, ἔργα κλυτῆ Ἡφαίστοιο.
Ἄνδρες δ', οἳ πρεσβῆες ἔσαν, γῆράς τε μέμαρπεν,
Ἀθρόοι ἑκτοσθεν πυλέων ἔσαν, ἂν δὲ θεοῖσι
Χεῖρας ἔχον μακάρεσσι, περὶ σφετέροισι τέκεσσι
Δειδιότες· Τοὶ δ' αὖτε μάχην ἔχον. Αἱ δὲ μετ' αὐτὰς
Κῆρες κυάνεαι, λευκὰς ἀραβεῦσαι ὀδόντας,
Δεινωποὶ, βλοσυροί τε, δαφοινοί τ', ἄπλητοί τε,
Δῆριν ἔχον περὶ πιπτόντων. Πᾶσαι δ' ἄρ' ἵεντο
Αἷμα μέλαν πιέειν· Αἱ δὲ φρένας εὖτ' ἀρέσαντο
Αἵματος ἀνδρομέου, τὸν μὲν ῥίπτασκον ὀπίσσω.
Ἄψ δ' ὅμαδον καὶ μῶλον ἐθύνεον αὖτις ἰοῦσαι,
Αἵματι μυδάλεαι. Παρὰ δ' εὔπυργος πόλις ἀνδρῶν·
Χρύσειαι δέ μιν εἶχον ὑπερθυρίοις ἀραρυῖαι
Ἔπλαὶ πύλαι. Τοὶ δ' ἄνδρες ἐν ἀγλαΐαις τε χοροῖς τε
Τέρψιν ἔχον. τοὶ μὲν γὰρ ἐϋσσώτρῳ ἐπ' ἀπήνης
Ἤγοντ' ἀνδρὶ γυναῖκα· πολὺς δ' ὑμέναιος ὀρώρει.
Τῆλε δ' ἀπ' αἰθομένων δαΐδων σέλας εἰλύφαζε
Χερσὶν ἐνὶ δμώων. Τοὶ δ' αὖ προπάροιθε πόληος
Νῶθ' ἵππων ἐπιβάντες ἐθύνεον· Οἱ δ' ἀροτῆρες

V. 44. Ἐϋσσώτρῳ ἐπ' ἀπήνης] Ex more Græcorum, qui sponsas sellis insidentes in currus imponebant, quibus ex parentum ædibus in mariti vehebantur. Suid. in ζεῦγος. *Grævius.*

Ἠρείκον

Ἤρειπον χθόνα δίαν· ἐπισ-υλάδην δὲ χιλῶνας
Ἔσ-αλατ'. Αὐτὰρ ἔην βαθὺ λήϊον. Οἴγε μὲν ἦμαρ
Αἰχμῆς ὀξείῃσι κορωνιόωλα πέτηλα,
Βριθόμενα σ-αχύων, ὥσει Δημήτερος ἀκλήν.
Οἱ δ' ἄρ ἐν ἀλλεδανοῖσι δέον, καὶ ἔπιπλον ἀλωήν·
Οἱ δ' ἐτρύγων οἶνας, δρεπάνας ἐν χερσὶν ἔχοντες·
Οἱ δ' αὖτ' ἐς ταλάρους ἐφόρευν ὑπὸ τρυγητήρων
Λευκὰς καὶ μέλανας βότρυας, μεγάλων ἄπο ὄρχων,
Βριθομένων φύλλοισι, καὶ ἀργυρέης ἐλίκεσσι.
Παὶρ δ' αὐτοῖς ἵππῆες ἔχον πόνον· ἀμφὶ δ' ἀέθλοις
Δῆριν ἔχον καὶ μόχθον· ἐϋπλεκέων δ' ἐπὶ δίφρων
Ἡνίοχοι βεβαῶτες ἐφίεσαν ὠκέας ἵππους,
Ῥυσὰ χαλαίνοντες· τὰ δ' ἐπικροτέοντα πέτοντο
Ἅρματα πολλήεντ', ἐπὶ δὲ σκῆπται μέγ' ἄϋτευν.
Τοῖσι δὲ καὶ πρῴκειτο μέγας τρίπος ἐντὸς ἀγῶνος,
Χρύσειος, κλυτὰ ἔργα περίφρονος Ἡφαίστοιο.
Ἀμφὶ δ' ὕδωρ ῥέεν Ὠκεανὸς πλήθοντι ἐοικώς·
Πᾶν δὲ συνεῖχε σάκος πολυδαίδαλον. Οἱ δὲ κατ' αὐτὸν

V. 51. Κορωνιόωλα] Quidam legunt κορυνιόεντα ex antiquis libris. Quod est, *fastigiata, capitata*, à κορύνη *virga capitata*. Κορωνιόεντα retinent MSS. et edit. antiquæ, idque est à κορώνη; quod inter alia notat quoque omne curvum, inflexum, ut solent flecti aristæ cum maturuerunt, grandia ferentes grana. *Græv.*

V. 55. Guietus legit ἀπὸ pro ὑπὸ τρυγητήρων.

V. 61. Ἐπικροτέοντα] Ita legimus secundum Græv., qui hanc vocem pro ἐπικραταίοντα inferendam censuit.

V. 63. Ἐντὸς ἀγῶνος] In *stadio, circo*. ἀγὼν est locus certaminis, stadium, hippodromus. Hesych. ἀγὼν ὀξύτονον, τάλαντον, ἄθροισμα. Idem ἀγὼν ὁ τόπος, ὅθεν ἀθροίζονται οἱ ἀγωνισταί. *Græv.*

Κύκνοι ἀερσιπόται μεγάλ' ἤπυον· οἱ ῥά γε πολλοὶ
Νῆχον ἐπ' ἄκρον ὕδωρ· πὰρ δ' ἐχθύες ἐκλονέοντο,
Θαῦμα ἰδεῖν καὶ Ζηνὶ βαρυκλύπῳ, ἕ διὰ βελὰς
Ἥφαιστος ποίησε σάκος μέγα τε στιβαρόν τε.
Ἀρσάμενος παλάμῃσι τὸ μὲν Διὸς ἄλκιμος υἱὸς
Πάλλεν ἐπικραέως· ἐπὶ δ' ἵππειον θόρε δίφρον,
Εἵκελος ἀστεροπῇ πατρὸς Διὸς αἰγιόχοιο,
Κώφα βιβάς. τῷ δ' ἡνίοχος κρατερὸς Ἰόλαος
Δίφρῳ ἐπεμβεβαὼς ἰθύνετο καμπύλον ἅρμα.

Ἐκ ΘΕΟΓΟΝΙΑΣ.

Τάρταρος.

ΤΟΝ περὶ χάλκειον ἔρκος ἐλήλαται· ἀμφὶ δέ μιν νὺξ
Τριστοιχὶ κέχυται περὶ δειρήν· αὐτὰρ ὕπερθεν
Γῆς ῥίζαι πεφύασι καὶ ἀτρυγέτοιο θαλάσσης.
Ἔνθα θεοὶ Τιτῆνες ὑπὸ ζόφῳ ἠερόεντι
Κεκρύφαλαι, βουλῇσι Διὸς νεφεληγερέταο,
Χώρῳ ἐν εὐρώεντι, πελώρης ἔσχατα γαίης.
Τοῖς οὐκ ἐξιτόν ἐστι· πύλας δ' ἐπέθηκε Ποσειδῶν

V. 2. Αὐτὰρ ὕπερθεν] Tartara non intra terram esse putabant, sed inferiora in tenebricosis spatiis, quæ terræ subjecta esse existimabant; cùm nescirent terram esse rotundam, et vicibus soli sui Hemisphæria ostendere. *Clericus.*

Χαλκείας,

Χαλκείας, τεῖχος περίκειται δ' ἀμφοτέρωθεν.
Ἔνθα Γύγης, Κότος τε, καὶ ὁ Βριάρεως μεγάθυμος
Ναίουσιν, φύλακες πιστοὶ Διὸς αἰγιόχοιο.
Ἐνθάδε γῆς δνοφερῆς, καὶ ταρτάρου ἠερόεντος,
Πόντου τ' ἀτρυγέτοιο, καὶ οὐρανοῦ ἀστερόεντος,
Ἑξείης πάντων πηγαὶ καὶ πείρατ' ἔασιν,
Ἀργαλέ', εὐρώεντα, τά τε στυγέουσι θεοὶ περ·
Χάσμα μέγ'· οὐδέ κε πάντα τελεσφόρον εἰς ἐνιαυτὸν
Οὔδας ἵκοιτ', εἰ πρῶτα πυλέων ἔντοσθε γένοιτο·
Ἀλλά κεν ἔνθα καὶ ἔνθα φέρει προθύελλα θύελλη,
Ἀργαλέη· δεινόν τε καὶ ἀθανάτοισι θεοῖσι
Τοῦτο τέρας· καὶ νυκτὸς ἐρεμνῆς οἰκία δεινὰ
Ἕστηκεν νεφέλῃς κεκαλυμμένα κυανέῃσι.
Τῶν πρόσθ' Ἰαπετοῖο πάϊς ἔχει οὐρανὸν εὐρὺν,
Ἑστηκὼς κεφαλῇ τε καὶ ἀκαμάτῃσι χέρεσσιν
Ἀσεμφέως, ὅθι Νύξ τε καὶ Ἡμέρα ἆσσον ἰοῦσαι
Ἀλλήλας προσέειπον ἀμειβόμεναι μέγαν οὐδὸν
Χάλκεον· ἡ μὲν ἔσω καταβήσεται, ἡ δὲ θύραζε
Ἔρχεται, οὐδὲ ποτ' ἀμφοτέρας δόμος ἐντὸς ἐέργει·
Ἀλλ' αἰεὶ ἑτέρη γε δόμων ἔκτοσθεν ἐοῦσα

V. 15. Huc respexisse videtur Miltonus noster, cum Satanam Chaos iter facientem describeret. *Parad. amiss.* ii. 930.

V. 16] Guietus legi hunc versum malit,

Οὔδας ἵκοι', εἰ πρῶτα πυλέων ἔντοσθε γένοιο.

V. 23, &c.] Ex hoc Miltonus imaginem suam de nocte ac die, sese invicem in antro illo cœlesti excipientibus, duxisse videtur, init. lib. vi. *Paradis. amiss.*

Digitized by Google

Γαῖαν ἐπιςρέφεται, ἡ δ' αὖ δόμυ ἐντὸς ἐῦσα
Μίμνει τὴν αὐτῆς ὥρην ὁδῦ, ἔς' ἂν ἵκηται·
Ἡ μὲν ἐπιχθονίοισι φάος πολυδερκὲς ἔχυσα,
Ἡ δ' Ὕπνον μετὰ χερσὶ κασίγνητον Θανάτοιο,
Νὺξ ὀλοὴ, νεφέλῃ κεκαλυμμένη ἠεροειδεῖ.
Ἔνθα δὲ Νυκτὸς παῖδες ἐρεμνῆς οἰκί' ἔχυσιν,
Ὕπνος καὶ Θάνατος, δεινοὶ θεοί· ὐδέ ποτ' αὐτὺς
Ἠέλιος φαέθων ἐπιδέρκεται ἀκτίνεσσιν,
Οὐρανὸν εἰσανιὼν, ὐδ' ὐρανόθεν καταβαίνων·
Τῶν ἕτερος μὲν γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
Ἥσυχος ἀνςρέφεται, καὶ μείλιχος ἀνθρώποισι·
Τῦ δὲ σιδηρέη μὲν κραδίη, χάλκεον δέ οἱ ἦτορ
Νηλεὲς ἐν ςήθεσσιν· ἔχει δ' ὃν πρῶτα λάβῃσιν
Ἀνθρώπων, ἐχθρὸς δὲ καὶ ἀθανάτοισι θεοῖσιν.

ΘΕΟΚΡΙΤΟΥ.

Digitized by Google

ΘΕΟΚΡΙΤΟΥ

ΘΥ΄ΡΣΙΣ, ἤ Ὠ΄ΔΗ.

Εἰδύλλιον ά.

Theocritus, Syracusanus an Cou, certè Syracusis versatus est. Floruit sub Ptolemæo Philadelpho, æqualis ipse Arati et Callimachi, circiter Olymp. 130, ante Christum ann. 260.

ΥΠΟ΄ΘΕΣΙΣ τȣ̃ Πρώτȣ Εἰδυλλίȣ.

Ἐν τȣ́τῳ τῷ εἰδυλλίῳ διαλέγονται πρὸς ἀλλήλȣς Θύρσις ποιμὴν, καὶ Αἰπόλος. Ὁ δὲ Θύρσις βȣκολικῶς ᾄδει τὸν ὑπ' ἔρωτος τηκόμενον καὶ ἀποθνήσκοντα Δάφνιδα· καὶ ἀντὶ τȣ́τȣ αἶγα ἐς τρὶς ἀμέλξαι, καὶ καλὸν κισσυβιον παρὰ τȣ̃ Αἰπόλȣ γέρας λαμβάνει.

ΘΥ΄ΡΣΙΣ ΠΟΙΜΗ΄Ν καὶ Ἀ΄ΙΠΟ΄ΛΟΣ.

Ἁ ΔΥ΄ τι τὸ ψιθύρισμα κ̀ ἁ πίτυς, αἰπόλε, τήνα,
Ἃ ποτὶ ταῖς παγαῖσι, μελίσδεται· ἁδὺ δὲ καὶ τὺ
Συρίσδες· μετὰ Πᾶνα τὸ δεύτερον ἆθλον ἀποισῇ.

3. ΣΥΡ. Ἀντὶ τȣ̃ συρίζεις, Δωρικῶς· οἱ γὰρ Δωριεῖς, τὰ δεύτερα πρόσωπα τῶν ῥημάτων τὰ εἰς εις λήγοντα εἰς ες ποιȣ̃σι· τὸ ι μόνον ἐκθλίβοντες. τὸ συρίζεις γὰρ συρίσδες γράφȣσι. ὡς καὶ ἐν τοῖς ἀπαρεμφάτοις τὸ συρίζειν συρίσδεν. διαλύȣσι δὲ τὸ ζ, εἰς τὰ, ἐξ ὧν ἦν συγκείμενον, στοιχεῖα.

ΑΠΟ. Κομισῃ. ὡς τὸ λαψῇ, ἀντὶ τȣ̃ λήψῃ. τȣ̀ς γὰρ μέλλοντας περισπᾶσιν οἱ Δωριεῖς, δεξῇ, λαψῇ, γραψῇ, καὶ τὰ ὅμοια.

Αἴκα

Δηθὰ κυλινδιόωντες ἐτώσια μοχθίζοντι.
Τοῖς δὲ μετὰ γριπεύς τε γέρων, πέτρας τε τέτυκται
Λεπρὰς, ἐφ' ᾗς σπεύδων, μέγα δίκτυον ἐς βόλον ἕλκει
Ὁ πρέσβυς, καμνοῦντι τὸ καρτερὸν ἀνδρὶ ἐοικώς. 41
Φαίης κεν γυίων νιν ὅσον σθένος ἐλλοπιεύειν.
Αἱ δέ οἱ ὠδήκασι κατ' αὐχένα πάντοθεν ἶνες,
Καὶ πολιῷ περ ἐόντι· τὸ δὲ σθένος ἄξιον ἄβας.
Τυτθὸν δ' ὅσσον ἄπωθεν ἀλιτρύτοιο γέροντος, 45
Πυρναίαις σαφυλαῖσι καλὸν βέβριθεν ἀλωά·
Τὰν ὀλίγος τις κῶρος ἐφ' αἱμασιαῖσι φυλάσσει
Ἥμενος· ἀμφὶ δέ μιν δύ' ἀλώπεκες αἱ μὲν ἀν' ὄρχως
Φοιτῇ, σινομένα ταὶν τρώξιμον· αἱ δ' ἐπὶ πῆρα
Πάντα δόλον τεύχοισα, τὸ παιδίον ἢ πρὶν ἀνάσειν 50
Φατὶ, πρὶν ἢ ἀκράτιζον ἐπὶ ξηροῖσι καθίζῃ.
Αὐταὶ δ' οὐ ἀνθερίκεσσι καλὰν πλέκει ἀκριδοθήραν·
Σχοίνῳ ἐφαρμόσδων· μέλεται δέ οἱ ὥτε τι πῆρας,
Οὔτε φυτῶν τοσσῆνον, ὅσον περὶ πλέγματι γαθεῖ.
Παντᾶ δ' ἀμφὶ δέπας περιπέπλαται ὑγρὸς ἄκανθος, 55

31. ΚΤ. Οἰδοῦντες τὰ κοῖλα τὰ ὑπὸ τὺς ὀφθαλμούς. συμβαίνει γὰρ τοῖς ἀγρυπνοῦσιν ὡς ἐπίπαν οἰδαίνειν τὰ κοῖλα· ὅπερ οἱ πολλοὶ ἀναγκαίως δι' ἔρωτα πάσχουσι.

51. ΠΡ. Οἱ μέλλοντες πολεμεῖν, πρωΐας ἔτι ὔσης, ὀλίγον τινὰ ἧσθιον ἄρτον, καὶ ἄκρατον οἶνον ἔπινον, ὡς θερμοὶ ὦσι, καὶ μὴ δειλιῶσιν, ὃ καὶ ἀκρατισμὸν ἐκάλεν. ἐνταῦθα δὲ ἀκράτισον, ἀντὶ τοῦ ἄγευσον. ΚΑΘ. Τὸ καθίζῃ, γράφεται βαρυτόνως. τὰ γὰρ ὑποτακτικὰ τῶν ῥημάτων, ὁμοίως οἱ Δωριεῖς ἡμῖν προφέρουσιν.

54.] Pro ὥτε τι legit Casaubonus ὥδ' ἔτι.

Αἰολικόν τι θάημα· τέρας κέ τυ θυμὸν ἀτύξαι.
Τῶ μὲν ἐγὼ πορθμεῖ Καλυδωνίῳ αἶγά τ' ἔδωκα
Ὦνον, καὶ τυρόεντα μέγαν λευκοῖο γάλακτος·
Οὐδέτι πᾶ ποτὶ χεῖλος ἐμὸν θίγεν, ἀλλ' ἔτι κεῖται
Ἄχραντον· τῷ κέν τυ μάλα πρόφρων ἀρεσαίμαν,
Αἰκέν μοι τύ φίλος τὸν ἐφίμερον ὕμνον ἀείσῃς.
Κὔ τοι τὶ φθονέω· πόταγ', ὦ 'γαθέ· τὰν γὰρ ἀοιδὰν
Οὔτι πα εἰς Αἴδαν γε τὸν ἐκλελάθοντα φυλαξεῖς.

ΘΥΡΣΙΣ.

Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς·
Θύρσις ὅδ' ὡξ Αἴτνας, καὶ Θυρσίδος ἅδ' ἁ φωνά.
Πᾶ πόκ' ἄρ' ἦσθ', ὅκα Δάφνις ἐτάκετο; πᾶ πόκα, νύμφαι;
Ἢ κατὰ Πηνειῶ καλὰ Τέμπεα, ἢ κατὰ Πίνδω;
Οὐ γὰρ δὴ ποταμοῖο μέγαν ῥόον εἴχετ' Ἀνάπω,
Οὐδ' Αἴτνας σκοπιὰν, οὐδ' Ἄκιδος ἱερὸν ὕδωρ.

56. ΑΙΟ. Αἰολικόν τὸ αἰτωλικόν. Αἰολεῖς γὰρ οἱ Αἰτωλοί. ἐξ Αἰτωλίας δέ φησι τὸ ποτήριον κεκομίσθαι. ἢ αἰολικὸν, ἀπατηλὸν, ποικίλον, ἐκπληκτικόν, καὶ ὃ ἄν τις διὰ κάλλος θαυμάσῃ.

58. ΤΥΡ. Τυρὸς, τυρόεις τὸ τὸ μακρὸν, ῥόεντα μέν, συνίζησις.

Ibid. Τυρόεντα] Heinsius, τυρῶντα, subaud. ἄρτον.

Ibid. Τυρόεντα id est, placentam: sic enim appellabant cui erat immixtus caseus; ψαιστὸν cui non erat. sic Hesych. *Casaub.*

61. Τὸν ἐφίμερον] legit Heins. τὸν ἐφ' Ἱμέρᾳ, rationibus satis bonis adductus, Lect. Theocr. cap. iii. Himera fluvius Siciliae.

63. Ἐκλελάθοντα ἀντὶ τοῦ τὸν λήθης ποιητικὸν καὶ αἴτιον. ἐκλανθάνουσι γάρ πάντες οἱ ἐν αὐτῷ τὸ τῆς λήθης ὕδωρ πίνοντες, ὡς ἀπὸ τοῦ ἔλαχον, λελάχω ἐνεστὼς, ὅτω καὶ ἀπὸ τοῦ λάθον, λελάθω.

68. Ὁ Ἀναπὸς ποταμὸς ἐν Συρακούσαις τῆς Σικελίας.

69. ΑΚΙ. Ἄκις ποταμὸς Σικελίας.

Ἄρχεῖε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Τῆνον μὰν θῶες, τῆνον λύκοι ὠρύσανῖο,
Τῆνον χὠ 'κ δρυμοῖο λέων ἀνέκλαυσε θανόντα.
Ἄρχεῖε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Πολλαὶ οἱ παὶρ πεσσὶ βόες, πολλοὶ δέ τε ταῦροι,
Πολλαὶ δ' αὐ δαμάλαι καὶ πόρτιες ὠδύραντο.
Ἄρχεῖε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ἦνθ' Ἑρμᾶς πρᾶτιστος ἀπ' ὤρεος εἶπε δὲ, Δάφνι,
Τίς τυ καλαίρυκει; τίνος, ὦ γαθὲ, τόσσον ἔρασσαι;
Ἄρχετε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ἦνθον τοὶ βῶται, τοὶ ποιμένες, ὠπόλοι ἦνθον.
Πάντες ἀνηρώτευν, τί πάθοι κακόν. ἦνθ' ὁ Πρίηπος,
Κῆφα, Δάφνι τάλαν, τί τυ τάκεαι; ἃ δέ τε κώρα
Πᾶσας ἀνὰ κράνας, πάντ' ἄλσεα ποσσὶ φορεῖται,
(Ἄρχεῖε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς)

72. ΤΗΝ. Γράφεται καὶ, χ' ὠ 'κ δρυμοῖο λέων ἂν ἔκλαυσε· τινὲς αἰτιῶνται τὸν Θεόκριτον, ἐν Σικελίᾳ λέγοντες μὴ εἶναι λέοντας. ἀλλὰ προσεθεμένη ἡ ἂν συλλαβὴ, λύει τὴν αἰτίαν. ἵνα ᾖ, τοῦτο ἂν ἔκλαυσεν, εἰ ἐν Σικελίᾳ ἦεν καὶ ὁ λέων ἐκ τοῦ δρυμοῦ ἦν, καὶ εἰ ἐγένετο γὰρ ἐν Σικελίᾳ λέων κἀκεῖνος τοῦτον ἐθρήνησεν.

77. ΗΝΘ. Τὸ δὲ λ εἰς ν τρέπουσιν οἱ Δωριεῖς ἐ πάντοτε, ἀλλ' ὅταν αὐτὸ τὸ θ ἢ τὸ τ ἐπιφέρηται, οἷον, βέλτιστος βέντιστος, φίλτατος φίντατος, ἔστιν ὅτε καὶ τὸ ἦλθ' Ἑρμᾶς.

82. Ἃ δέ τε] Τὸ pro σὶ apud Dores et vulgò notum, et apud hunc Poetam frequens. *Casaub.*

85. ΖΑΤ. Εἰρωνεύεται δὲ· ζητεῖ γὰρ αὐτὸς μᾶλλον, ἃ ζητοῦται ὑπὸ τῆς νύμφης· ἢ καὶ παρηγορητικὸς ὁ λόγος.

Ibid. Ζατεῦσ'] Legit Heins. Ζατῶσ'. ζατῶσαι apud Hesych. est ἐπιποθῆσαι, ἐπιθυμῆσαι.

Ζαλοῖσ' ἀ δύσερός τις ἄγαν καὶ ἀμάχανος ἐσσί.
Τὰς δ' ὐδὲν ποτελέξαθ' ὁ βωκόλος ἀλλὰ τὸν αὐτᾶ
Ἄνυε πικρὸν ἔρωτα, καὶ ἐς τέλος ἄνυε μοίρας.
Ἄρχε θ' βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ἦνθέ γε μὰν ἀδεῖα καὶ ἁ Κύπρις γελάοισα,
Λάθρια μὲν γελάοισα, βαρὺν δ' ἀνὰ θυμὸν ἔχοισα
Κῆπε, Τὰ δὴν τὸν ἔρωτα κατεύχεο, Δάφνι, λυγίζειν
Ἆρ' ἐκ αὐτᾶς ἔρωτος ὑπ' ἀργαλέω ἐλυγίχθης;
Ἄρχε θ' βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Τάνδ' ἄρα καὶ Δάφνις ποταμεῖδε, Κύπρι βαρεῖα,
Κύπρι νεμεσατά, Κύπρι δυαλοῖσιν ἀπεχθής,
Ἤδη γὰρ φράσδει πάνθ', ἅλιον ἅμμι δεδύκειν
Δάφνις κ' εἰν αἰδᾳ κακὸν ἔσσεται ἄλγος ἐρωτᾶς.
Ἄρχε θ' βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ὦ λύκοι, ὦ ὄρεες, ὦ ἀν' ὤρεα φωλάδες ἄρκοι,
Χαίρετ'· ὁ βωκόλος ὔμμιν ἐγὼ Δάφνις ἐκέτ' ἀν' ὕλαν,
Οὐκέτ' ἀνὰ δρυμεὼς, ἀν' ἄλσεα. χαῖρ' Ἀρέθοισα,
Καὶ ποταμοὶ, τοὶ χεῖτε καλὸν κάλὰ Θύμβριδας ὕδωρ.
Ἄρχε θ' βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Δάφνις ἐγὼν ὅδε τῆνος, ὁ τὰς βόας ὧδε νομεύων,
Δάφνις ὁ τὼς ταύρως καὶ πόρτιας ὧδε πολίσδων.
Ἄρχε θ' βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.

96. Heinsius optimè hunc versum interpretatur;
" Jam omnia indicant nos periisse."

97. Κακὸν ἄλγος] Daphnis nihil aliud significat, quam se futurum triste exemplum reliquis amatoribus. *Heins.*

102. Θυμβρίδος] Thymbridem, fluvium esse vult Scholiastes, montem Casaubonus.

Ὦ Πὰν Πὰν, εἴτ' ἐσσὶ κατ' ὤρεα μακρὰ Λυκαίω,
Εἴτε τύ γ' ἀμφιπολεῖς μέγα Μαίναλον, ἔνθ' ἐπὶ νᾶσον
Τὰν Σικελὰν, Ἑλίκας δὲ λίπε ῥίον, αἰπύ τε σᾶμα
Τῆνο Λυκαονίδαο, τὸ καὶ μακάρεσσιν ἀγαστόν.
Λήγετε βωκολικᾶς, μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
Ἔνθ', ὦναξ, καὶ τάνδε φέρ' εὐπάκτοιο μελίπνουν
Ἐκ κηρῶ σύριγγα καλὰν, περὶ χεῖλος ἑλικτάν.
Ἡ γὰρ ἐγὼν ὑπ' ἔρωτος ἐς ᾅδαν ἕλκομαι ἤδη.
Λήγετε βωκολικᾶς, μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
Νῦν ἴα μὲν φορέοιτε βάτοι, φορέοιτε δ' ἄκανθαι,
Ἁ δὲ καλὰ νάρκισσος ἐπ' ἀρκεύθοισι κομάσαι·
Πάντα δ' ἔναλλα γένοιτο, καὶ ἃ πίτυς ὄχνας ἐνείκαι,
Δάφνις ἐπεὶ θνάσκει. καὶ τὰς κύνας ὤλαφος ἕλκοι,
Κἠξ ὀρέων τοὶ σκῶπες ἀηδόσι γαρύσαιντο.
Λήγετε βωκολικᾶς, μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
Χὠ μὲν τόσσ' εἰπὼν ἀπεπαύσατο. τὸν δ' Ἀφροδίτα
Ἤθελ' ἀνορθῶσαι· τά γε μὰν λίνα πάντα λελοίπει
Ἐκ Μοιρᾶν· χὠ Δάφνις ἔβα ῥόον· ἔκλυσε δίνα
Τὸν μώσαις φίλον ἄνδρα, τὸν ὐ νύμφαισιν ἀπεχθῆ.
Λήγετε βωκολικᾶς, μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
Καὶ τὺ δίδου τὰν αἶγα, τό τε σκύφος· ὥς μιν ἀμέλξας,
Σπείσω ταῖς μοίσαις. ὦ χαίρετε πολλάκι, μοῖσαι,
Χαίρετ'· ἐγὼ δ' ὔμμιν καὶ ἐς ὕστερον ἄδιον ᾀσῶ.

110. ΑΓΑ. Τὸ ὑψηλὸν μνῆμα ἐκεῖνο τοῦ υἱοῦ τοῦ Λυκάονος, ἤγουν τοῦ Μαινάλου, ἀφ' οὗ τὸ ὄρος Μαίναλον, ὃ καὶ τοῖς θεοῖς ἐστι θαυμαζόμενον, τὸ δὲ Ρίον ἀκρωτήριόν ἐστι τῆς Πελοποννήσου, ἐναντίως τῷ καλουμένῳ Ἀντιρρίῳ τετραμμένον.

124. ΕΒΑ. Τουτέστιν, ἀπέθανε, καὶ τὸν Ἀχέροντα διῆλθε.

ΑΙΠΟΛΟΣ.

Digitized by Google

ΑΙΠΟΛΟΣ.

Πλῆρές τοι μέλιτος τὸ καλὸν γόμα, Θύρσι, γένοιτο, 130
Πλῆρες δὲ σχαδόνων· καὶ ἀπ' Αἰγίλω ἰσχάδα τρώγοις
Ἀδεῖαν, τέτριγας ἐπεὶ τύ γα φέρτερον ᾄδεις.
Ἠνίδε τοι τὸ δέπας. θᾶσαι, φίλος, ὡς κακὸν ὄσδει·
Ὡρᾶν πεπλύσθαί νιν ἐπὶ κράναισι δοκασεῖς.

131. ΑΙΓ. Αἴγιλος, δῆμος τῆς Ἀττικῆς ἀπό τινος φυλῆς ἥρωος Αἰγίλου.

Ibid. Pro Αἰγίλω legit Heinſ. αἰγίρῳ, *populo*, vel *alno*.

134. ΚΡΑ, Ἐπὶ κρήναις ταῖς τῶν Ὡρῶν δόξεις ἀποπεπλῦσθαι ἀντὶ τοῦ ἔαρι· ἐπεὶ ἄνθη πάντα τότε. Ἄλλως. Νομίσεις πεπλῦσθαι αὐτὸ ἐπὶ ταῖς πηγαῖς τῶν Ὡρῶν, ὅτως ἐστὶ δηλονότι ὡραῖον.

ΥΠΟΘΕΣΙΣ τῆ Δευτέρᾳ Εἰδυλλίῳ.

Ὑπόκειται Σιμαίθα, Δέλφιδος Μυνδίᾳ τινὸς ἐρῶσα, ἣν ἐκ παλαίστρας φίλτροις τε καὶ φαρμάκοις, διά τινος Θεραπαίνης Θεσύλιδος ὑποδιακονουμένη, ἐφ' ἑαυτὴν πειρᾶται μεθάγειν, ἐπικαλουμένη τὴν Σελήνην καὶ τὴν Ἑκάτην, ὡς ἐπὶ τῷ ἔρωτι συμβαλλομένας νυκτερινὰς θεάς. Τὴν δὲ Θεσύλιδα ὁ Θεόκριτος ἐκ τῶν Σώφρονος μετήνεγκε μίμων.

ΦΑΡΜΑΚΕΥΤΡΙΑ.

Εἰδύλλιον ϛ'.

Πᾶ μοι ταὶ Δάφναι; φέρε Θέσυλι. πᾷ δὲ τὰ φίλτρα;

Στέψον

Θέσυλι, ταὶ κύνες ἄμμιν ἀνὰ πτόλιν ὠρύονται. 35
Ἁ θεὸς ἐν τριόδοισι· τὸ χαλκίον ὡς τάχος ἄχει.
Ἴϋγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Ἠνίδε, σιγᾷ μὲν πόντος, σιγῶντι δ' ἀῆται·
Ἁ δ' ἐμὰ ἀ σιγᾷ κέρνων ἔντοσθεν ἀνία, 40
Ἀλλ' ἐπὶ τήνῳ πᾶσα καλαίθομαι, ὅς με τάλαιναν
Ἀντὶ γυναικὸς ἔθηκε κακὰν καὶ ἀπάρθενον ἦμεν.
Ἴϋγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Ἱππομανὲς φυτόν ἐσι παρ' Ἀρκάσι τῷδ' ἐπὶ πᾶσαι
Καὶ πῶλοι μαίνονται ἀν' ὥρεα καὶ θοαὶ ἵπποι.

36. Notant Scholia, multùm apud Veteres fuisse æris usum in re divinâ, maximèque πρὸς πᾶσαν ἀφοσίωσιν καὶ ἀποκάθαρσιν. *Omnino* (ait Macrobius lib. v. cap. 19.) *ad rem divinam plerdque ænea adhiberi solita, multa indicia sunt: et in his maximè sacris, in quibus delinire aliquos aut devovere, aut denique exigere morbos volebant.* Præcipuè soliti veteres, delinquente lunâ, æra pulsare *Casaub.* "Cum hoc scripsit Theocritus, habebat in animo So-"phronem suum, qui τὸν προλαθόντα χαλκὸν dixerat amoliri φάρ-"μακα illa, quæ Ἐκαταῖα vocabantur." *Dan. Heinsius.*

43. ΙΠΠ. Ὁ μὲν Θεόκριτός φησι φυτὸν εἶναι, τὸ ἱππομανές· οἱ δὲ ἀπίστοι καὶ πολυπράγμονες, ἃ φασι φυτὸν εἶναι, ἀλλὰ τὰς ἀπολικμωμένας πώλας ἔχειν τὶ σαρκίον φυόμενον ἐπὶ τῷ μετώπῳ γλοιῶδες, ἔλατον ἰσχάδος, ὃ καλεῖται ἱππομανές· ἀποβήγνυσι δὲ αὐτὸ καὶ ἀπολείχουσιν εὐθὺς αἱ ἵπποι. καὶ εἰ τοῦτο ποιήσουσι, φιλοτοκοῦσι τὰ ἔγγονα· εἰ δὲ μή, ἀπεχθαίρουσι, καὶ ὑποσίεσθαι, διὰ τὸ φυσικῶς ἓν ξυμβάλλεσθαι πρὸς φιλοτοκίαν, οἱ ἱπποφορβοὶ ἀφαιροῦσιν αὐτὸ, καὶ αἱ φαρμακίδες χρῶνται αὐτῷ πρὸς τὰ φίλτρα. φασὶ δ' ὅτι εἰ αἴσθοιντο τῆς ὀσμῆς αἱ ἵπποι, ἐμμαίνονται πρὸς τὸν ἔχοντα αὐτό. ἴσως φύλλον αὐτὸ ἦφη ὁ Θεόκριτος, οἱονεὶ φῦμα, ἀπὸ τοῦ φύεσθαι ἐν τοῖς πώλοις, ὥς φησιν Ἀριστοτέλης. λέγει γὰρ καὶ Ἀρχίλοχος τὸ φῦμα φύλλον. Sic Hesychius, φυτοῦ, φύματος Idem abundè confirmat Casaubonus, et Dan. Heinsius ad locum.

Ὧλε

Ὡς καὶ Δέλφιν ἴδοιμι καὶ ἐς τόδε δῶμα περῆσαι,
Μαινομένᾳ ἴκελον, λιπαρᾶς ἔκλοσθε παλαίστρας.
Ἰϋγξ, ἔλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Τᾶτ' ἀπὸ τᾶς χλαίνας τὸ πράσπεδον ὥλεσε Δέλφις·
Ὤ γὼ νῦν τίλλοισα κατ' ἀγρίῳ ἐν πυρὶ βάλλω.
Αἰ αἰ, ἔρως ἀνιηρὲ, τί μευ μέλαν ἐκ χροὸς αἷμα
Ἐμφὺς ὡς λιμνᾶτις ἅπαν ἐκ βδέλλα πέπωκας;
Ἰϋγξ, ἔλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Σαῦράν τοι τρίψασα, κακὸν ποτὸν αὔριον οἴσω.
Θέσυλι, νῦν δὲ λαβοῖσα τὺ τὰ θρένα ταῦθ' ὑπόμαξον
Τᾶς τήνω φλιᾶς καθυπέρτερον ἃς ἔτι καὶ νῦν
Ἐν θυμῷ δέδεμαι· (ὁ δέ μευ λόγον οὐδενὰ ποιεῖ.)
Καὶ λέγ' ἐπιφθύσδοισα; Τὰ Δέλφιδος ὀσέα πάσσω.
Ἰϋγξ, ἔλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Νῦν δὴ μέμνη ἐοῖσα πόθεν τὸν ἔρωτα δακρυσῶ;
Ἐκ τίνος ἀρξεῦμαι; τίς μοι κακὸν ἄγαγε τῆτο;
Ἦνθ' ἁ τῶ Ὑβέλοιο καναφόρος ἄμμιν Ἀναξὼ,
Ἅλσος ἐσ' Ἀρτέμιδος. τᾷ δὴ ποκα πολλὰ μὲν ἄλλα
Θηρία πομπεύεσκε περισαδόν, ἐν δὲ λέαινα.
Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
Καί μ' ἁ Θευχαρίλα, Θρᾶσσα τροφὸς ἁ μακαρῖτις,
Ἀγχίθυρος ναίοισα καλεύξατο, καὶ λιάνευσε
Τὰν πομπὰν θάσασθαι. ἐγὼ δέ οἱ ἁ μεγάλοιλος
Ὠμάρευν, βύσσοιο καλὸν σύροισα χιτῶνα,

63. Pro ποκα' legit Casaubonus τόκα.

Κἀμφιςειλαμένα τὰν ξυςίδα τᾶς Κλεαρίςας.
Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκελο, πότνα Σελάνα. 70
Ἤδη δ' εὖσα μέσαν κατ' ἀμαξιτὸν, ᾇ τὰ Λύκωνος,
Εἶδον Δέλφιν ὁμῦ τε καὶ Εὐδάμιππον ἰόνλας.
Τοῖς δ' ἦν ξανθοτέρα μὲν ἐλιχρύσοιο γενειὰς,
Στήθεα δὲ ςίλβονλα πολὺ πλέον ἢ τύ, Σελάνα,
Ὡς ἀπὸ γυμνασίοιο καλὸν πόνον ἄρτι λιπῦσι. 75
Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκελο, πότνα Σελάνα.
Χ' ὡς ἴδον, ὡς ἐμάνην, ὥς μευ περὶ θυμὸς ἰάφθη
Δειλαίας· τὸ δὲ κάλλος ἐτάκελο, κοὐδ' ἔτι πομπᾶς
Τήνας ἐφρασάμαν, οὐδ' ὡς πάλιν οἴκαδ' ἀπῆνθον
Ἔγνων· ἀλλά μέ τις καπυρὰ νόσος ἐξαλάπαξε· 80
Κείραν δ' ἐν κλιντῆρι δέκ' ἄμαλα, καὶ δέκα κύκλας.
Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκελο, πότνα Σελάνα.
Καί μευ χρὼς μὲν ὁμοῖος ἐγίνελο πολλάκι θάψῳ.
Ἐρρεῦν δ' ἐκ κεφαλᾶς πᾶσαι τρίχες· αὐτὰ δὲ λοιπὰ
Ὀςέ' ἔτ' ἦς καὶ δέρμα καὶ ἐς τίνος ἐκ ἐπέρασα; 85
Ἦ ποίας ἔλιπον γραίας δόμον, ἅτις ἐπᾴδεν;
Ἀλλ' ἦς ὐδὲν ἐλαφρόν· ὁ δὲ χρόνος ἅπλο φεύγων.
Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκελο, πότνα Σελάνα.
Χ' ὕτω τᾷ δώλᾳ τὸν ἀλαθέα μῦθον ἔλεξα·
Εἶδ' ἄγε, Θέςυλί, μοι χαλεπᾶς νόσω εὕρέ τι μᾶχος.

69. ΕΥΣ. Ξυςὶς, γυναικεῖόν τι ἔνδυμα ποικιλμένον.

Ibid. Τὰν Κλεαρίςας] Hoc verſu defricatur mulierum illiberalis ambitio, in alienâ veſte venditantium.

" Ut ſpectet ludos, conducit Ogulnia veſtem." Juv. Sat. 6.

87. Ἀλλ' ὐδμία ἦν ἀνάπτευσις, ὐδ' ἰκνφιζόμην τῦ ἤματος, καὶ ὁ χρὼς ὅλος ἦν ῥίον.

Πᾶσαι

Πᾶσαν ἔχει με τάλαιναν ὁ Μύνδιος. ἀλλὰ μολοῖσα
Τήρησον ποτὶ τὰν Τιμαγήτοιο παλαίστραν·
Τηνεὶ γὰρ φοιτᾷ, τηνεὶ δέ οἱ ἁδὺ καθῆσθαι.
Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκελο, πότνια Σελάνα.
Κἠπεὶ κά νιν ἐόνθα μάθοις μόνον, ἄσυχα νεῦσον,
Κἠφ' ὅτι Σιμαίθα τὺ καλεῖ· καὶ ὐφάγεο τᾆδε.
Ὡς ἐφάμαν· αἰὲ ἦνθε, καὶ ἄγαγε τὸν λιπαρόχρων
Εἰς ἐμὰ δώματα Δέλφιν. ἐγὼ δέ νιν ὡς ἐνόησα
Ἀρτι θύρας ὑπὲρ ὐδὸν ἀμειβόμενον ποδὶ κύφῳ,
(Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκελο, πότνια Σελάνα)
Πᾶσα μὲν ἐψύχθην χιόνος πλέον, ἐκ δὲ μετώπω
Ἱδρὼς μευ κοχύεσκεν ἴσον νοτίαισιν ἐέρσαις,
Οὐδέ τι φωνᾶσαι δυνάμαν, ἐδ' ὅσσον ἐν ὕπνῳ
Κνυζῶνται φωνεῦντα φίλαν ποτὶ ματέρα τέκνα·
Ἀλλ' ἐπάγην δαγῦδι καλὸν χρόα πάντοθεν ἶσα.
Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκελο, πότνια Σελάνα.
Καί μ' ἐσιδὼν ὤξορνος, ἐπὶ χθονός ὄμματα πήξας,
Ἕζετ' ἐπὶ κλινῆρι, καὶ ἐζόμενος φάτο μῦθον.
Ἦ ῥά με, Σιμαίθα, τόσον ἔφθασας, ὅσσον ἐγὼ θὴν
Πρὰν ποκα τὸν χαρίεντα τρέχων ἔφθαξα Φιλῖνον,
Ἐς τὸ τεὸν καλέσασα τόδε ζέγος, ἦ μ' ἀπῆμεν.
Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκελο, πότνια Σελάνα.
Ἦνθον γὰρ κηγὼ, ναὶ τὸν γλυκὺν, ἦνθον, ἔρωλα,
Ἦ τρίτος ἠὲ τέταρτος ἐὼν φίλος αὐτίκα νυκτός,

105. ΑΛΛ. Ἀντὶ τῦ ἄφωνος γίγονα ἀμοῖα δαγῦδι, ᾗ αἱ παρθένοι κοσμεῖνται, δαγὺς δέ ἐστι καροκόσμιόν τι.

Μᾶλα μὲν ἐν κόλποισι Διωνύσοιο φυλάσσων,
Κραδὶ δ' ἔχων λεύκαν, Ἡρακλέος ἱερὸν ἔρνος,
Πάντοτε τορφυρέῃσι περιζώσῃσιν ἑλικτάν.
Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
Καί μ' εἰ μὲν κ' ἐδέχεσθε, τάδ' ἦς φίλα· κὴ γὰρ ἐλαφρὸς
Καὶ καλὸς πάντεσσι μετ' ἠθείοισι καλεῦμαι.
Εὕδον δ', εἶκε μόνον τὸ καλὸν ςόμα τεῦς ἐφίλασα.
Εἰ δ' ἄλλᾳ μ' ὠθεῖτε, καὶ ἃ θύρα εἶχετο μοχλῷ,
Πάντως καὶ πελέκεις καὶ λαμπάδες ἦνθον ἐφ' ὑμέας.
Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
Νῦν δὲ χάριν μὲν ἔφαν τᾷ Κύπριδι πρᾶτον ὀφείλειν·
Καὶ, μετὰ τὰν Κύπριν, τύ με δευτέρα ἐκ πορὸς εἵλευ,
Ὦ γύναι, ἐσκαλέσασα τεὸν ποτὶ τῦτο μέλαθρον,
Αὕτως ἠμίφλεκτον. Ἔρως δ' ἄρα καὶ Λιπαραίᾳ
Πολλάκις Ἀφαίςοιο σέλας φλογερώτερον αἴθει.
Ὡς εἶπεν μὲν Δέλφις· ἐγὼ δέ οἱ ἀ ταχυπειθὴς

115. Μῆλα ἔχων ἐν κόλποις τὰ ἐράσμια καὶ ἔρωτος ποιητικά. λέγει δ' ἂν τῦτο καθὸ ὑπὸ Ἀφροδίτης διδόμενα τῷ Ἱππομένει μῆλα ἐκ Διωνύσου, οἷς ςεφανῦσθαι. ταῦτα δὲ εἰς ἔρωτα τὴν Ἀταλάντην ἐκίνησεν, ὡς φησι Φιλητᾶς, τά οἱ ποτὲ Κύπρις ἑλεῖσα Μῆλα Διωνύσου δῶκεν ἀπὸ κρότάφων. Hunc locum affert Athenæus lib. iii. additque Neoptolemi Pariani locum, quo et pomorum et omnium aliorum ἀκροδρύων inventio Baccho tribuitur. *Casaub.*

116. Ἐςεφανωμένος δέ, φησι, λευκῇ ἐληλύθει ὁ Δέλφις, ὅτι ἀθλητικός ἐςιν, ὡς καὶ Ἡρακλῆς· οἱ γὰρ ἀθλητικοὶ τῦτῳ ἐςεφανῦντο ὡς ἱερῷ· ἱερὸν δὲ ἦν τῦτο Ἡρακλέος τῦ πολλὺς ἄθλους διενεγκόντος, ἐπεὶ αὐτὸν ἔλαγον ἀπὸ τῦ Ἀχίροντος τῦτο εἰς ἀνθρώπους κομίσαι.

117. Περιζώσραι] Coronæ, quas è capite suo amicæ imponebant amatores, quod ἀναδεῖσθαι dicebant. *Heinf.*

120. Καλεῦμαι] Verbum καλεῖσθαι idem ferè esse ac εἶναι multis exemplis ostendit Casaubonus.

Κἄτε

Κἤτέ τι τῆνος ἐμὶν ἐπεμέμψαλο μέσφα τοι ἐχθές,
Οὔτ' ἐγὼ αὖ τήνῳ· ἀλλ' ἤνθές μοι ἅ τε Φιλίσας
Μάτηρ τᾶς γε ἐμᾶς αὐλητρίδος, ἅ τε Μελιξοῦς,
Σάμερον, ἀνίκα πέρ τε ποτ' ἠρανὸν ἔτρεχον ἵπποι,
Ἀῶ τὰν ῥοδόπαχυν ἀπ' Ὠκεανοῖο φέροισαι. 135
Κἤπέ μοι ἄλλα τε πολλὰ, καὶ ὡς ἄρα Δέλφις ἔραλαι.
Καὶ φατὸ σὶ ζεφάνοισι τὰ δώμαλα τῆνα πυκάσδεν.
Ταῦτά μοι ἁ ξείνα μυθήσαλο· ἔξι δ' ἀλαθής.
Ἦ γάρ μοι καὶ τρὶς καὶ τετράκις ἄλλος ἐφοίτη,
Καὶ παρ' ἐμὶν ἐτίθει τὰν Δωρίδα πολλάκις ὅλπαν. 140
Νῦν δέ τε δωδεκαλαῖος ἀφ' ὥτε νιν ὐδε ποκ' εἶδον.
Ἦ ῥ' ὐκ ἄλλό τι τερπνὸν ἔχει, ἁμῶν δὲ λέλαται;
Νῦν μὲν ταῖς φίλτροις καλαθύσομαι· αἰ δ' ἔτι κἠμὲ
Λυπῇ, τὰν αἴδαο πύλαν, καὶ μοίρας, ἀραξεῖ.
Τοιάδ' οἱ ἐν κίστᾳ κακὰ φάρμακα φαμὶ φυλάσσειν, 145
Ἀσσυρίω, δέσποινα, παρὰ ξείνοιο μαθοῖσα.
Ἀλλὰ τὺ μὲν χαίροισα, πολ' Ὠκεανὸν τρέπε πῶλυς,
Πότνι'· ἐγὼ δ' οἰσῶ τὸν ἐμὸν πόνον, ὥσπερ ὑπέσαν.
Χαῖρε, Σελαναία λιπαρόχροε· χαίρετε δ' ἄλλοι
Ἀστέρες, εὐκήλοιο κατ' ἄντυγα νυκτὸς ὀπαδοί. 150

131. Ἐχθὲς] χθὲς ſæpe nihil aliud eſt quam χθὲς καὶ πρώην, et ad plures dies extenditur. *Caſaub.* et *Heinſ.*

140. Ἴσως τὴν λήκυθον, ἣν ἔχυσαν τὸ ἔλαιον, ᾗ ἐχρῶντο ἐν ταῖς παλαίστραις. νῦν δὲ ἴσως τὴν χαλκῆν φησὶ λήκυθον, διὰ τὸ Δωρίδα φάναι, ἀντὶ Κορινθίας, τὰ γὰρ Κορίνθια χαλκώματα διαβεβόηται.

142. Pro ἦ ῥ' ὐκ, legit Heinſius ἦ ῥ' ἔτ.

143. Pro καλαθύσομαι legit idem, poſt Meurſium, ἐπιθύσομαι.

146. Ἀσσύριοι δὲ, ἔθνος Περσικὸν, ἀκριβῶς εἰς μαγείαν, μίλαξὺ ὂν Τίγριδος καὶ Εὐφράτε.

Τὸ Πο-

ΥΠΟΘΕΣΙΣ τῦ Ἑβδόμυ Εἰδυλλίυ.

Ἐπιδημήσας ὁ Θεόκριτος ἐν Κῷ, ὅτε πρὸς Πτολεμαῖον εἰς Ἀλεξάνδρειαν ἀπῄει, φίλος κατέστη Φρασιδάμῳ καὶ Ἀντιγένει, Λυκωπέως υἱοῖς, καὶ κληθεὶς ὑπ' αὐτῶν εἰς ἀγρὸν ἐπὶ θαλύσια Δήμητρος, ἄπεισι μετὰ Εὐκρίτυ καὶ Ἀμύντυ. Ἐντυγχάνει δέ καθ' ὁδὸν Λυκίδᾳ τῷ Κυδωνιάτῃ ἐκ Κρήτης, καὶ ἀλλήλοις ὁμιλῦντες διεξέρχονται τὺς ἑαυτῶν ἔρωτας.

ΘΑΛΥΣΙΑ.

Εἰδύλλιον ζ'.

Ἦς χρόνος ἁνίκ' ἐγώ τε καὶ Εὔκριτος ἐς τὸν Ἄλεντα
Εἵρπομες ἐκ πόλιος· σὺν καὶ τρίτος ἄμμιν
Ἀμύντας·
Τᾷ Δηοῖ γὰρ ἔτευχε θαλύσια ὁ Φρασίδαμος.
Κὔπω τὰν μεσάταν ὁδὸν ἄνυμες, ὐδὲ τὸ σᾶμα
Ἁμῖν τῶ Βρασίδα κατεφαίνετο· καί τιν' ὁδίταν
Ἐσθλὸν σύν μοίσαισι Κυδωνικὸν εὕρομες ἄνδρα,
Ὤνομα μὲν Λυκίδαν, ἧς δ' αἰπόλος· ὐδέ κέ τίς μιν
Ἠγνοίησεν ἰδὼν, ἐπεὶ αἰπόλῳ ἔξοχ' ἐῴκει.
Ἐκ μὲν γὰρ λασίοιο δασύτριχος εἶχε τράγοιο
Κνακὸν δέρμ' ὤμοισι, νέας ταμίσοιο ποτόσδον.

1. ΑΛΕ. Ἀλεὺς, ἢ δῆμος τῆς Κῶ, ὕτω καλύμενος ἀπὸ τινος Ἀλέντος. ἢ τόπος ἐν Κῷ ὕτως ὀνομαζόμενος ἀπὶ Ἀλεντίυ τινὸς βασιλέως· Θαλύσια, ἑορτὴ, ἣν ἐτέλυν τῇ Δήμητρι μετὰ τὴν συγκομιδὴν τῶν καρπῶν· Ὅμηρος. Θαλύσια γυνῷ ἀλῶῆς. Halenta fluvium esse Siciliæ vult Heinsius, et hujus Idyllii scenam in Siciliâ collocari.

Ἀμφὶ

Ἀμφὶ δέ οἱ ςήθεσσι γέρων ἐσφίγγετο πέπλος
Ζωςῆρι πλακερῷ· ῥοικὰν δ' ἔχεν ἀγριελαίω
Δεξιτερᾷ κορύναν· καί μ' ἀτρέμας εἶπε σεσαρὼς
Ὄμματι μειδιόωντι, (γέλως δέ οἱ εἴχετο χείλευς)
Σιμιχίδα, πᾷ δὴ τὺ μεσαμέριον πόδας ἕλκεις,
Ἁντίκα δὴ καὶ σαῦρος ἐφ' αἱμασιαῖσι καθεύδει,
Οὐδ' ἐπιτυμβίδιοι κορυδαλλίδες ἠλαίνονται;
Ἦ μετὰ δαῖτα κλητὸς ἐπείγεαι; ἤ τινος ἀςῶν
Λανὸν ἐπιθρώσκεις; ὡς τεῦ ποσὶ νεισσομένοιο
Πᾶσα λίθος πταίοισα ποτ' ἀρβυλίδεσσιν ἀείδει.
Τὸν δ' ἐγὼ ἀμείφθην· Λυκίδα φίλε, φαντὶ τὺ πάντες
Ἔμμεν συρικτὰν μεγ' ὑπείροχον ἔν τε νομεῦσιν,
Ἔν τ' ἀμητήρεσσι· τὸ δὴ μαλὰ θυμὸν ἰαίνει
Ἁμέτερον· καίτοι, κατ' ἐμὸν νόον, ἰσοφαρίσδεν
Ἔλπομαι· ἁ δ' ὁδὸς ἅδε Θαλυσιάς· ἦ γὰρ ἑταῖροι
Ἀνέρες εὐπέπλῳ Δαμάτερι δαῖτα τελεῦντι,
Ὄλβω ἀπαρχόμενοι· μάλα γάρ σφισι πίονι μέτρῳ
Ἁ δαίμων εὔκριθον ἀνεπλήρωσεν ἀλωάν.
Ἀλλ' ἄγε δὴ, (ξυνὰ γὰρ ὁδὸς, ξυνὰ δὲ καὶ ἀὼς)
Βωκολιασδώμεσθα· τάχ' ὤτερος ἄλλον ὀνασεῖ·

15. ΣΙΜ. Σιμιχίδα. εἰσὶ δέ πατρωνυμικὰ ὕτως ἀπαραλλάκτως λεγόμενα καὶ ἐπὶ τῶν υἱῶν, ὡς καὶ ἐπὶ τῶν πατέρων. ὥσπερ ὁ Θεόκριτος Σιμιχίδα υἱὸς ὢν, Τιμιχίδαν ἑαυτὸν ὀνομάζει πατρωνυμικῶς.

17. ΕΠΙ. Ἐπιτυμβίδιοι. ἢ ὅτι τοῖς τάφοις ἐνδιατρίβουσιν, ἢ ὡσεὶ τύμβον ἐπὶ τῆς κεφαλῆς φέρουσιν.

Ibid. Ἐπιτυμβίδιοι] Τύμβος est ὁ λόφος τῆς γῆς. *Heins.*

20. Ἀρβυλίδες hic sunt κρουπέζαι vel κρουπέζια peculiariter Boeotorum, qui ejusmodi calceis oleas et uvas calcabant. ξύλινα ὑποδήματα vocat ea Hesych. *Dan. Heinsius.*

Καὶ

Καὶ γὰρ ἐγὼ μοισᾶν καπυρὸν ϛόμα· κἠμὲ λέγοντι
Πάντες ἀοιδὸν ἄριϛον· ἐγὼ δέ τις οὐ ταχυπειθής·
Οὐ Δᾶν· οὐ γάρ πω, κατ' ἐμὸν νόον, οὔτε τὸν ἐσθλὸν
Σικελίδαν νίκημι τὸν ἐκ Σάμου, οὔτε Φιλητᾶν,
Ἀείδων· βάτραχος δέ ποτ' ἀκρίδας ὥς τις ἐρίσδω.
Ὣς ἐφάμαν ἐπίταδες· ὁ δ' αἰπόλος, ἁδὺ γελάξας,
Τάν τοι, ἔφα, κορύναν δωρήσομαι, οὕνεκεν ἐσσὶ
Πᾶν ἐπ' ἀλαθείᾳ πεπλασμένον ἐκ Διὸς ἔρνος.
Ὥς μοι καὶ τέκτων μέγ' ἀπέχθεται, ὅϛις ἐρευεῇ
Ἶϛον ὄρευς κορυφᾷ τελέσαι δόμον Ὠρομέδοντος,
Καὶ Μοισᾶν ὄρνιχες, ὅσοι ποτὶ Χῖον ἀοιδὸν
Ἀντία κοκκύζοντες, ἐτώσια μοχθίζοντι.
Ἀλλ' ἄγε, βωκολικᾶς ταχέως ἀρχώμεθ' ἀοιδᾶς,
Σιμιχίδα· κἠγὼ μὲν, ὅρη φίλος, εἴ τοι ἀρέσκει
Τοῦθ' ὅ, τι πρὰν ἐν ὄρει τὸ μελύδριον ἐξεπόνασα.

34. ΣΙΚ. Ἀσκληπιάδην φησὶ τὸν ἐπιγραμματογράφον. ὥστερ γὰρ Σιμιχίδαν ἑαυτὸν καλεῖ ὁ Θεοκριτὸς πατρονυμικῶς ὡς υἱὸν Σιμιχίδα, καὶ τὸν Εὐμήδην Κρατίδαν, υἱὸν ὄντα Κρατίδα, οὕτω καὶ νῦν Σικελίδαν ὀνομάζει τὸν Ἀσκληπιάδην τὸν Σάμιον, ὡς υἱὸν Σικελίδα, οὗ δοκεῖ ἀκουστὴς γεγονέναι. ὁ δὲ Φιλητᾶς, Κῶος τὸ γένος, ἢ ὡς ἔνιοι, Ῥόδιος, υἱὸς Τηλέφου. ποιητὴς δὲ ἦν καὶ οὗτος.

38. ΠΑΝ. Ὅτι φιλαλήθης πέφυκας.

39. ΤΕΚ. Ὠρομέδων ἐϛὶν ὄρος ἐν Κῷ, ὑψηλότερον τῶν ἐν τῇ Κῷ ἑτέρων ὀρέων. Videtur mons ille a gigante ibi occiso et obruto sic esse dictus. Oromedon Gigas est apud Propertium,

Te duce vel Jovis arma canam, cœloque minantem
Cœlum, et Phlegræis Oromedonta jugis. *Casaub.*

45. Pro ἐν ὄρει legit ex Eustathio Heinsius ὥρα. Hoc carmen ait Lycidas a se scriptum fuisse πρὰν ὥρα, *vere præcedente*, cum navigationem susciperet Ageanax, ὥρα est τὸ ἔαρ. *Heins.*

Ἔσσεται

Ἔσσεται Ἀγεάνακτι καλὸς πλόος ἐς Μιτυλάναν,
Κῶταν ἐφ' ἑσπερίοις ἐρίφοις νότος ὑγρὰ διώκῃ
Κύμαλα, κ' Ὠρίων ὅτ' ἐπ' Ὠκεανῷ πόδας ἴσχει,
Χ' ἁλκυόνες ϛορεσεῦνται τὰ κύμαλα, τάν τε θάλασσαν,
Τόν τε νότον, τόν τ' εὖρον, ὅς ἔσχαλα φυκία κινεῖ· 50
Ἁλκυόνες, γλαυκαῖς Νηρηΐσι ταί τε μάλιϛα
Ὀρνίχων ἐφίλαθεν, ὅσαις τέ περ ἐξ ἁλὸς ἄγραι·
Ἀγεάνακτι πλόον διζημένῳ ἐς Μιτυλάναν
Ὥρια πάντα γένοιϛο, καὶ εὔπλοον ὅρμον ἵκοιϛο·
Κἠγὼ τῆνο κατ' ἄμαρ, ἀνήθινον, ἢ ῥοδόεντα, 55
Ἢ καὶ λευκοΐων ϛέφανον περὶ κραῖ φυλάσσων
Τὸν Πτελεαϊκὸν οἶνον ἀπὸ κρητῆρος ἀφυξῶ,
Παὰρ πυρὶ κεκλιμένος· κύαμον δέ τις ἐν πυρὶ φρυξεῖ
Χ' ἅ ἔϛ τ', ϛιβὰς ἐσσεῖται πεπυκασμένα ἔϛ' ἐπὶ πᾶχυ
Κνύζα τ', ἀσφοδέλῳ τε, πολυγναμπτῳ τε σελίνῳ. 60
Καὶ πίομαι μαλακῶς, μεμναμένος Ἀγεάνακτος,
Αὐταῖσιν κυλίκεσσι καὶ ἐς τρύγα χεῖλος ἐρείδων·

47. Κ ΩΤ. Καὶ ὅταν ὁ νότος τὰ ὑγρὰ ἐλαύνῃ κύμαλα, ἐπὶ τοῖς ἐρίφοις δύνουσι. τοῦτο γὰρ δύναλαι τὸ, ἑσπερίοις. καὶ ὅταν ὁ Ὡρίων εἰς τὸν Ὠκεανὸν καλαφέρηται.

49. Κ ΑΛ. Θρηνητικὸν τὸ ζῶον, καὶ παρὰ τοῖς αἰγιαλοῖς νεοττεῦον· τὸ κῦμά ἀφαιρεῖται τὰς νεοσσὲξ αὐτῶ. δεκατέσσαρας δὲ ἡμέρας φασὶ ὅταν γενηᾷ περὶ τὰς χειμερινὰς τροπὰς εὐδιάζειν, ἃς καλοῦσιν ἀλκυονίδας· ἐπλὰ πρὸ τῆς γυνήσεως, καὶ ἐπλὰ μετὰ γένησιν.

57. ΠΤΕ. Πτελέα τόπος ἐν Κῶ.

58. ΚΤΑ. Οὐ μάτην τοῦτό φησιν· ὁ γὰρ κύαμος διψοποιός. πόσεως δὲ χάριν τοῦτό φησιν.

62. Legit *Heinsius*, μεμναμένος Ἀγεάνακτος. Αὐταῖσιν κυλίκεσσι, καὶ—*memorantem inter pocula.*

Αὐλησεῦντι δέ μοι δύο ποιμένες· εἷς μὲν, Ἀχαρνεύς·
Εἷς δὲ, Λυκωπίτας· ὁ δὲ Τίτυρος ἐγγύθεν ᾀσεῖ,
Ὡς πόκα τᾶς Ξενέας ἠράσσατο Δάφνις ὁ βώτας,
Χὡς ὄρος ἀμφεπολεῖτο, καὶ ὡς δρύες αὐτὸν ἐθρήνευν,
Ἱμέρα αἵτε φύοντι παρ' ὄχθαισιν ποταμοῖο·
Εὖτε χιὼν ὥς τις κατετάκετο μακρὸν ὑφ' Αἷμον,
Ἢ Ἄθω, ἢ Ῥοδόπαν, ἢ Καύκασον ἐσχατόεντα.
Ἀισεῖ δ' ὥς ποκ' ἔδεκτο τὸν αἰπόλον εὐρέα λάρναξ
Ζωὸν ἐόντα, κακῇσιν ἀτασθαλίῃσιν ἄνακτος.
Ὥς τέ νιν αἱ σιμαὶ λειμωνόθε φέρβον ἰοῖσαι
Κέδρον ἐς ἁδεῖαν μαλακοῖς ἄνθεσσι μέλισσαι·
Οὕνεκά οἱ γλυκὺ μοῖσα κατὰ στόματος χέε νέκταρ.
Ὦ μακαριστὲ Κομάτα, τὺ θὴν τάδε τερπνὰ πεπόνθης,
Καὶ τὺ κατεκλάσθης ἐς λάρνακα, καὶ τὺ, μελισσᾶν
Κηρία φερβόμενος, ἔτος ὥριον ἐξετέλεσσας.

63. ΑΧΑ. Ἀττικός. Ἀχάρναι γὰρ δῆμος τῆς Ἀττικῆς.

64. ΛΥΚ. Ἤγουν, Αἰτωλός. Λυκωπίτας γὰρ, ὁ ἀπὸ Λυκώπης. ἡ δὲ Λυκώπη, πόλις Ἀιτωλίας.

65. Ξενέας] Græci cujuſcunque nomen reticent, illum ξένον appellant, *Heinſ.* Ξενέα, ὄνομα κύριον. *Schol.*

67. ΙΜΕ. Ἱμέρα γενικὴ πτῶσις. ἔστι δὲ πόλις Σικελίας, καὶ πηγή, καὶ ποταμὸς ἀπὸ ταύτης ἔχων τὴν ἀρχήν· ἢ ποταμὸς Σικελίας, καὶ πόλις ὁμώνυμος.

70. ΑΙΠ. Τὶς Αἰπόλος καλέμενος Κομάτας, ταυτὸν δέ ἐστιν εἰπεῖν Μενάλκας, τοῦ οἰκείου δεσπότου θρέμματα νέμων ἐν Σικελίᾳ ἐν τῷ ὄρει τῆς Θουρίας ἔθυε συχνάκις ταῖς Μούσαις. ὁ δὲ δεσπότης αὐτοῦ δυσχεράνας, κατέκλεισεν αὐτὸν εἰς λάρνακα ξυλίνην, πειράζων εἰ σώσειαν αὐτὸν αἱ Μοῦσαι. δύο δὲ μηνῶν ἐλθόντων, παραγενόμενος καὶ ἀνοίξας ζῶντα μὲν αὐτὸν εὗρε, πλήρη δὲ καὶ τὴν λάρνακα κηρίων.

77. Ἔτος ὥριον dicitur ver et æſtas, annus ſine hyeme et autumno. *Heinſ.*

Αἴθ'

Αἴθ' ἐπ' ἐμεῦ ζωοῖς ἐναρίθμιος ὤφελες ἦμες,
Ὥς τοι ἐγὼν ἐνόμευον ἀν' ὤρεα τὰς καλὰς αἶγας,
Φωνᾶς εἰσαΐων· τὺ δ' ὑπὸ δρυσὶν ἢ ὑπὸ πεύκαις
Ἁδὺ μελισδόμενος κατακέκλισο, θεῖε Κομάτα.
Χὠ μὲν τόσσ' εἰπὼν ἀπεπαύσατο· τὸν δὲ μετ' αὖθις
Κἠγὼν τοῖ' ἐφάμαν· Λυκίδα φίλε, πολλὰ μὲν ἄλλα
Νύμφαι κἠμὲ δίδαξαν ἀν' ὤρεα βουκολέοντα
Ἐσθλὰ, τὰ που καὶ Ζανὸς ἐπὶ θρόνον ἄγαγε φάμα.
Αλλὰ τόγ' ἐκ πάντων μέγ' ὑπείροχον, ᾧ τὺ γεραίρεν
Ἀρξεῦμ'. ἀλλὰ ὑπάκοισον, ἐπεὶ φίλος ἔπλεο μοίσαις.
Ὦ χαρίεσσ' Ἀμαρυλλὶ, τί μ' οὐκ ἔτι τοῦτο κατ' ἄντρον
Παρκύπτοισα καλεῖς τὸν ἐρωτύλον; ἦ ῥά με μισεῖς;
Ἦ ῥά γέ τοι σιμὸς καταφαίνομαι ἐγγύθεν ἦμεν,
Νύμφα, καὶ προγένειος; ἀπάγξασθαί με ποιησεῖς.
Ηνίδε τοι δέκα μᾶλα φέρω· τηνῶθε καθεῖλον,
Ὦ μ' ἐκέλευ καθελεῖν τύ· καὶ αὔριον ἄλλά τοι οἰσῶ.
Θᾶσαι μὰν θυμαλγὲς ἐμὸν ἄχος· αἴθε γενοίμαν
Ἁ βομβεῦσα μέλισσα, καὶ ἐς τεὸν ἄντρον ἱκοίμαν,
Τὸν κισσὸν διαδὺς, καὶ τὰν πτέριν, ᾇ τὺ πυκάσδῃ.
Νῦν ἔγνων τὸν Ἔρωτα· βαρὺς θεός ἦ ῥα λεαίνας
Μασδὸν ἐθήλαζε, δρυμῷ τέ μιν ἔτρεφε μάτηρ·
Ὅς με κατασμύχων καὶ ἐς ὀστέον ἄχρις ἰάπτει.
Τὸν στέφανον τίλαί με κατ' αὐτίκα λεπτὰ ποιησεῖς,

88. Ὦ χαρ.] Hæc cantilena, quæ sequitur, ex Idyllio tertio desumpta est.

89. Παρκύπτοισα] Παρακύπτειν et *caput e foribus exserere*. Heins.

95. Pro καὶ ἐς τεὸν legit Heinsius κατ' ἐς τεὸν. In hoc Idyllio omnes ferè periodi sunt ἀσύνδετοι.

Τὸν τοι ἐγὼν, Ἀμαρυλλὶ φίλα, κισσοῖο φυλάσσω,
Ἐμπλέξας καλύκεσσι καὶ εὐόδμοισι σελίνοις.
Ὦ μοι ἐγὼ, τί πάθω; τί ὁ δύσσοος; οὐχ ὑπακούεις;
Τὰν βαίταν ἀποδὺς, εἰς κύματα τῆνα ἁλεῦμαι,
Ὥπερ τὼς θύννως σκοπιάζεται Ὄλπις ὁ γριπεύς·
Κῆκα μὴ ποθάνω, τό γε μὰν τεὸν ἀδὺ τέκυκται.
Ἔγνων πρὰν, ὅκά, μευ μεμναμένω εἰ φιλέεις με,
Οὐδὲ τὸ τηλέφιλον ποτμαξόμενον πλατάγησεν,
Ἀλλ' αὔτως ἁπάλῳ ποτὶ πάχεϊ ἐξεμαράνθη.
Εἶτε καὶ Ἀγροιὼ τἀλαθέα, κοσκινόμαντις,
Ἁ πρὰν ποιολογεῦσα παραιβάτις, οὕνεκ' ἐγὼ μὲν
Τὶν ὅλος ἔγκειμαι. τὺ δέ μευ λόγον οὐδένα ποιῇ.
Ἦ μάν τοι λευκὰν διδυματόκον αἶγα φυλάσσω,
Τάν με καὶ ἁ Μέρμνωνος Ἐριθακίς ἁ μελανόχρως
Αἰτεῖ· καὶ δωσῶ οἱ, ἐπεὶ τύ μοι ἐνδιαθρύπτῃ.
Ἄλλεται ὀφθαλμός μευ ὁ δεξιός· ἆρά γ' ἰδησῶ

104. Τῆνα] legit τῆθεν *Casaub.*

108. ΟΥΔ. Ἐν ἄλλοις γράφεται καὶ οὕτω· Οὐδὲ τὸ τηλέφιλον ποτιμαξάμενον πλατάγησεν· τηλέφιλον δὲ ἐστι τὸ φύλλον τῆς μήκωνος· ἀναλαμβάνεται παρὰ τῶν ἐρώντων τὸ τηλέφιλον, καὶ πληττόμενον εἰ ψόφον ἀπετέλει, ἐδίδου αὐτοῖς σημειοῦσθαι, ὅτι ἀντερῶνται ὑπὸ τῶν ἐρωμένων· εἰ δ' οὐκ ἀπετέλει, ὅτι μισοῦνται· εἴρηται δὲ τηλέφιλον, κατὰ κοινωνίαν τοῦ τ, πρὸς τὸ δ, οἱονεὶ δηλέφιλόν τι ὄν, τὸ δηλοῦν τὸν φίλον.

110. Ἀγροιώ] Legit Heinsius ἁ γραία.

111. ΠΟΙ. Ἡ πρώην σταχυολογοῦσα. ΠΑΡ. Ἡ ἐπομένη καὶ παρακολουθοῦσα τοῖς θερισταῖς.

Ibid. Pro παραιβάτις, legit idem καταιβάτις, *venefica.*

114. ΕΡΙ. Ἤγουν, μισθώτρια, ἀπὸ τοῦ ἔριθος ὑποκοριστικῶς. Et sic Eustath. ad Iliad. σ et γ. ἢ ὄνομα κύριον. *Schol.*

115. ΕΝΔ. Ἀπονοῇ, καὶ ἐμβλακεύῃ, σπαταλᾶς, τρυφᾶς.

116. Ἄλλεται] Veteres Græci bonum existimabant omen τὸν ἐκ δεξιῶν πταρμὸν et τὸν παλμὸν δεξιοῦ ὀφθαλμοῦ. *Casaub.*

Αὐτὰν;

Αὐτὰν; ἀσεῦμαι ποτὶ τὰν πίτυν ὧδ' ἀποκλινθείς·
Καί κέ μ' ἴσως ποτίδοι, ἐπεὶ ἐκ ἀδαμαντίνα ἐντί.
Ἱππομένης, ὅκα δὴ τὰν παρθένον ἤθελε γᾶμαι,
Μᾶλ' ἐνὶ χερσὶν ἑλὼν, δρόμον ἄνυεν· ἁ δ' Ἀταλάντα
Ὡς ἴδεν, ὡς ἐμάνη, ὡς ἐς βαθὺν ἄλλετ' ἔρωτα.
Ἀλγέω τὰν κεφαλάν· τίν δ' ἐ μέλει. ἐκέτ' ἀείδω·
Κείσευμαι δὲ πεσὼν, καὶ τοὶ λύκοι ὧδέ μ' ἔδονται.
Ὡς μέλι τοι γλυκὺ τοῦτο κατὰ βρόχθοιο γενοίτο.
Τόσσ' ἐφάμαν. ὁ δέ μοι τὸ λαγωβόλον, ἁδὺ γελάξας,
Ὡς πάρος, ἐκ μοισᾶν ξεινήϊον ὤπασεν ἡμὲς.
Χὠ μὲν, ἀποκλίνας ἐπ' ἀριστερὰ, τὰν ἐπὶ Πύξας
Εἶρφ' ὁδόν· αὐτὰρ ἐγών τε καὶ Εὔκριτος ἐς Φρασιδάμω
Στραφθέντες, χὠ καλὸς Ἀμύντιχος, ἔν τε βαθείαις
Ἀδείας σχοίνοιο χαμευνίσιν ἐκλίνθημες,
Ἔν τε νεοτμάτοισι γεγαθότες οἰναρέοισι.
Πολλαὶ δ' ἄμμιν ὕπερθε κατὰ κρατὸς δονέοντο
Αἰγείροι πτελέαι τε· τὸ δ' ἐγγύθεν ἱερὸν ὕδωρ
Νυμφᾶν ἐξ ἀντροιο κατειβόμενον κελάρυσδε.
Τοὶ δὲ ποτὶ σκιεραῖς ὀροδαμνίσιν αἰθαλίωνες
Τέττιγες λαλαγεύντες ἔχον πόνον· ἁ δ' ὀλολυγὼν
Τηλόθεν ἐν πυκινῆσι βάτων τρυζέσκεν ἀκάνθαις.
Ἀείδον κόρυδοι καὶ ἀκανθίδες, ἐς ἔνε τρυγὼν
Πωτῶντο ξουθαὶ περὶ πίδακας ἀμφὶ μέλισσαι.
Πάντ' ὦσδεν θέρεος μάλα πίονος, ὦσδε δ' ὀπώρης.

126. Amatores, qui παρακλαυσίθυρον carmen suum ad januam amicæ absolverant, *postquam fores inexorabiles viderant*, exclamabant πέσων γε κείσομαι. *Dan. Heins.*

135. ΑΙΘ. Αἰθαλίωνες οἱ τέττιγες, παρὰ τὸ αἴθεσθαι ὑπὸ καύματος. ὅταν γάρ ἐστι νότος καὶ καῦμα, μᾶλλον φθέγγονται.

Ὄχναι

Ὄχναι μὲν πὰρ ποσσὶ, παρὰ πλευρῇσι δὲ μᾶλα
Δαψιλέως ἄμμιν ἐκυλίνδετο· τοὶ δ' ἐκέχυντο
Ὄρπακες βραβύλοισι καταβρίθοντες ἐρασδὲ·
Τετράενες δὲ πίθων ἀπολύετο κρατὸς ἄλειφαρ.
Νύμφαι Κασταλίδες, Παρνάσιον αἶπος ἔχοισαι,
Ἆρά γέ πᾷ τοίονδε Φόλω κατὰ λαῖνον ἄντρον
Κρητῆρ Ἡρακλῆϊ γέρων ἐστάσατο Χείρων;
Ἆρά γε πᾷ τῆνον τὸν ποιμένα τὸν ποτ' Ἀνάπω
Τὸν κρατερὸν Πολύφαμον, ὃς ὤρεσι νᾶας ἔβαλλε,
Τοῖον νέκταρ ἔπεισε κατ' αὐλία ποσσὶ χορεῦσαι,
Οἷον δὴ τόκα πῶμα διεκρανώσατε, Νύμφαι,
Βωμῶ πὰρ Δάματρος ἀλωάδος; ἃς ἐπὶ σωρῷ
Αὖθις ἐγὼ πάξαιμι μέγα πτύον. ἃ δὲ γελάξαι,
Δράγματα καὶ μάκωνας ἐν ἀμφοτέρῃσιν ἔχοισα.

143. ΒΡΑΒ. Βράβυλα, τὰ κοινῶς κοκκύμηλα, ἤγουν, δαμασκηνά.

146. ΦΟΛ. Φόλος ὄνομα Κενταύρου, ᾧ ἐπιξενωθεὶς Ἡρακλῆς, οἶνον ἔπιε καλὸν ἐκ Διονύσου δοθέντα, συνῆν δὲ αὐτῷ καὶ Χείρων.

149. Vulgo λᾶας ἔβαλλε, legit Heinsius νᾶας.

151. ΔΙΕ. Ἀποκαλυφθῆναι ἐποιήσατε, ἢ ἐπηγάσατε.

153. ΠΑΞ. Εἰώθασι γὰρ ἐκτρίψαντες τοὺς καρποὺς καὶ σωροὺς ποιήσαντες τὸ πτύον πήσσειν.

ΥΠΟ-

Ὑπόθεσις τῆς Ὀγδόης Εἰδυλλίου.

Τὰ μὲν πράγματα ἐπὶ Σικελίας· ὁ δὲ λόγος, ἐκ τῆς ποιμενικῆς προσώπου. εἰσὶ δ' ἐρίζοντες ἀλλήλοις Μενάλκας ποιμὴν καὶ Δάφνις βουκόλος, εἰληφότες κρίνην αἰπόλον, ἧς τὸ ὄνομα σεσιώπηται. ἔπαθλον δὲ τιθεῖσι τὰς ἰδίας σύριγγας. τελεσάντων δὲ τὴν ἄμιλλαν, ὁ αἰπόλος τῷ Δάφνιδι τὴν νίκην ἀπονέμει.

ΒΟΥΚΟΛΙΑΣΤΑΙ,

Εἰδύλλιον ἡ.

ΔΑΦΝΙΣ, ΜΕΝΑΛΚΑΣ, καὶ ΑΙΠΟΛΟΣ.

Δάφνιδι τῷ χαρίεντι συνήντεμο βουκολέοντι
Μᾶλα νέμων (ὡς φαντὶ) κατ' ὤρεα μακρὰ Μενάλκας.
Ἄμφω τὼ γ' ἤτην πυῤῥοτρίχω, ἄμφω ἀνάβω.
Ἄμφω συρίσδεν δεδαημένω, ἄμφὼ ἀείδεν.
Πρᾶτος δ' ὧν ποτὶ Δάφνιν ἰδὼν ἀγόρευε Μενάλκας·

ΜΕΝΑΛΚΑΣ.

Μυκητᾶν ἐπίσρε βοῶν, Δάφνι, λῆς μοι ἀείσαι;
Φαμὶ τὺ νικασεῖν ὅσσον θέλω, αὐτὸς ἀείδων.
Τὸν δ' ἄρα χὠ Δάφνις τοιῶδ' ἀπαμείβετο μύθῳ.

ΔΑΦ-

ΔΑΦΝΙΣ.

Ποιμὴν εἰροπόκων οἰῶν, συρικτὰ Μενάλκα,
Οὔπω σε νικασεῖς μ', εἰ δ' εἰτι πάθοις τύ γ' ἀείδων.

ΜΕΝΑΛΚΑΣ.

Χρήσδεις ὦν ἐσιδεῖν; χρήσδεις καταθεῖναι ἄεθλον;

ΔΑΦΝΙΣ.

Χρήσδω τᾶτ' ἐσιδεῖν, χρήσδω καταθεῖναι ἄεθλον.

ΜΕΝΑΛΚΑΣ.

Ἀλλὰ τί θησεύμεσθ', ὅ κεν ἀμῖν ἄρχιον εἴη;

ΔΑΦΝΙΣ.

Μόσχον ἐγὼ θησῶ· τὰ δὲ θές γ' ἰσομάτερα ἀμνόν.

ΜΕΝΑΛΚΑΣ.

Οὐ θησῶ πόκα γ' ἀμνὸν ἐπεί χαλεπὸς θ' ὁ πατήρ μευ,
Καὶ μάτηρ· τὰ δὲ μᾶλα ποθέσπερα πάντ' ἀριθμεῦντες.

ΔΑΦΝΙΣ.

Ἀλλὰ τί μὰν θησεῖς; τί δὲ τὸ πλέον ἔξει ὁ νικῶν;

ΜΕΝΑΛΚΑΣ.

Σύριγγ' ἂν ἐποίησα παλαὶ ἐγὼ ἐννεάφωνον,
Λευκὸν καρὸν ἔχοισαν, ἴσον πάτω, ἴσον ἄνωθεν,
Ταύταν καθεῖην· τὰ δὲ τῶ πατρὸς ἐ καταθησῶ.

ΔΑΦ-

ΔΑΦΝΙΣ.

Ἢ μὰν τοι κἠγὼ σύριγγ' ἔχω ἐννεάφωνον,
Λευκὸν κηρὸν ἔχοισαν, ἴσον κάτω, ἴσον ἄνωθεν,
Πρώαν νιν συνεπάξατ' ἔτι καὶ τὸν δακτύλον ἁλγῶ
Τᾶτον, ἐπεὶ κάλαμός με διασχισθεὶς διέπαξεν.
Ἀλλὰ τίς ἄμμε κρινεῖ; τίς ἐπάκοος ἔσσεται ἁμῶν;

ΜΕΝΑΛΚΑΣ.

Τῆνόν πως ἐλαῦθα τὸν αἰπόλον ἦν καλέσωμες,
Ὠι ποτὶ ταῖς ἐριφοις ὁ κύων ὁ φάλαρος ὑλακεῖ.
Χὠ μὲν παῖδες ἄϋσαν, ὁ δ' αἰπόλος ἦνθ' ἐπακῦσαι,
Χὠ μὲν παῖδες ἄειδον, ὁ δ' αἰπόλος ἤθελε κρῖναι.
Πρᾶτος ὁ ὢν ἀείδε λαχὼν ὑκλα Μενάλκας
Εἶτα δ' ἀμοιβαίην ὑπελαμβάνε Δάφνις ἀοιδάν
Βωκολικάν· ἔτω δὲ Μενάλκας ἄρξατο πρᾶτος·

ΜΕΝΑΛΚΑΣ.

Ἄγκεα καὶ πολαμοὶ, θεῖον γένος, αἴ τι Μενάλκας
Πᾶ ποχ' ὁ συρικτὰς προσφιλὲς ἄσε μέλος,
Βόσκοισ' ἐκ ψυχᾶς τὰς ἀμνίδας· ἦν δὲ ποκ' ἔνθη
Δάφνις ἔχων δαμάλας, μηδὲν ἔλασσον ἔχοι.

ΔΑΦΝΙΣ.

Κρᾶναι καὶ βοτάναι, γλυκερὸν φυλὸν, αἴπερ ὁμοῖον
Μυσίσδοι Δάφνις, ταῖσιν ἀηδονίσι,

27. Φάλαρος ὁ λευκός. καὶ Ὅμηρος πίμαλα φαληριόωντα λέγει, τὰ λευκαινόμενα.

34. Antiquiſſimæ editiones Romana et Florentina in hoc verſu præferunt συρικὰ ut ſupra ἴυγκα; quod melius. *Caſaub.*

Τοῦτο τὸ βουκόλιον πιαίνετε. κἤν τι Μενάλκας
Τηδ' ἀγάγοι, χαίρων ἄφθονα πάντα νέμοι.

ΜΕΝΑΛΚΑΣ.

Παντᾶ ἔαρ, παντᾶ δὲ νομοὶ, πάντᾶ δὲ γάλακτος
Οὔθατα πλήθουσιν, καὶ τὰ νέα τρέφεται,
Ἔνθ' ἁ καλὰ παῖς ἐπινισσεταί· αἱ δ' ἂν ἀφέρποι,
Χὠ ποιμὰν ξηρὸς τηνόθι, χ' αἱ βοτάναι.

ΔΑΦΝΙΣ.

Ἔνθ' ὄϊς, ἔνθ' αἶγες διδυματόκοι, ἔνθα μελίσσαι
Σμάνεα πληρουσιν, καὶ δρύες ὑψίτεραι,
Ἔνθ' ὁ καλὸς Μίλων βαίνει ποσίν· αἱ δ' ἂν ἀφέρποι,
Χὠ τὰς βῶς βόσκων, χ' αἱ βοές αὐοτεραι.

ΜΕΝΑΛΚΑΣ.

Ὦ τράγε, τᾶν λευκᾶν αἰγᾶν ἄνερ, ὦ βάθος ὕλας
Μυρίον, ὦ σιμαὶ, δεῦτ' ἐφ' ὕδωρ, ἔριφοι·
Ἐν τήνῳ γὰρ τῆνος. ἴθ' ὦ κόλε, καὶ λέγε Μίλων,
Ὡς Πρωτεὺς φώκας, καὶ θεὸς ὢν, ἔνεμε.

ΔΑΦΝΙΣ.

Μή μοι γᾶν Πέλοπος, μή μοι χρύσεια τάλαντα
Εἴη ἔχεν, μηδὲ πρόσθε θεεῖν ἀνέμων

49, 50. Pro ὦ legit Heinsius ὦ, id est, ὅπου.

50. Μυρίον ἀντὶ τοῦ μέγα. *Heins.*

Ibid. Σιμαὶ] Non sunt μέλισσαι, sed loca montosa et acclivia. *Heins.*

50. Δεῦρο ὧδε ὅπου ἐστὶν ἡ πλείστη δασύτης τῶν δένδρων, ὅπου εἰσὶν αἱ σιμαὶ μέλισσαι. δεῦτε, ἔριφοι, ἐπὶ τὸ ὕδωρ.

51. Pro ὦ κόλε legit Grotius ὦ πόλε, probante Heinsio.

53. Pro χρύσεια legit Piersonus Κροίσοιο Verisim. i. 4.

Ἀλλ'

Ἀλλὰ ὑπὸ τᾷ πέτρᾳ τᾷδ' ἄσομαι ἀγκὰς ἔχων τὺ,
Σύννομα μάλ' ἐσορῶν, τὰν Σικελὰν ἐς ἅλα.

ΜΕΝΑ'ΛΚΑΣ.

Δένδρεσι μὲν χειμὼν φοβερὸν κακὸν, ὕδασι δ' αὐχμὸς,
Ὄρνισιν δ' ὕσπλαγξ, ἀγροτέροις δὲ λίνα·
Ἀνδρὶ δὲ, παρθενικὰς ἁπαλὰς πόθος, ὦ πάτερ, ὦ Ζεῦ,
Οὐ μόνος ἠρασθὴν· καὶ τὺ γυναικοφίλας.
Ταῦτα μὲν ὧν δι' ἀμοιβαίων οἱ παῖδες ἄεσαν·
Τὰν πυμάταν δ' ᾠδὰν ὕτως ἐξᾶρχε Μενάλκας.

ΜΕΝΑ'ΛΚΑΣ.

Φείδευ τῶν ἐρίφων, φείδευ, λύκε, τᾶν τοκάδων μευ·
Μήδ' ἀδίκει μ', ὅτι μικκὸς ἐὼν πολλαῖσιν ὁμαρτῶ.
Ὦ Λάμπυρε κύων, ὕτω βαθὺς ὕπνος ἔχει τὺ;
Οὐ χρὴ κοιμᾶσθαι βαθέως σὺν παῖδι νέμοντα·
Ταὶ δ' ὄϊες, μηδ' ὔμμες ὀκνεῖθ' ἁπαλᾶς κορέσασθαι
Ποίας· ὕτι καμεῖσθ' ὄκκα πάλιν ἅδε φύηται.
Σιττὰ νέμεσθε, νέμεσθε· τά δ' ὕθατα πλήσατε πᾶσαι,
Ὡς τὸ μὲν ὤρνες ἔχωντι, τὸ δ' ἐς ταλάρως ἀποθῶμαι.
Δεύτερος αὖ Δάφνις λιγυρῶς ἀνεβάλλετ' ἀείδεν·

ΔΑΦΝΙΣ.

Κἄμ' ἐκ τῶ ἄντρω σύνοφρυς κόρα ἔχθες ἰδοῖσα
Τὰς δαμάλας παρελεύντα, καλὸν καλὸν ἦμες ἔφασκεν.
Οὐ μὰν ὐδὲ λόγον ἐκρίθην ἄπο τὸν μικρὸν αὐτᾷ,

56. Legit Heinsius τὰν Σικελάν τ' ἐς ἅλα.

59. Pro πόθος legit idem κότος.

72. ΚΑΜ. Κόρη εἰς ταυτὸ συναπτύσας ἔχουσα τὰς ὀφρῦς, ἢ δασείας καὶ συγκεκολλημένας· τυτέστιν, εὐόφθαλμος.

74. Pro πικρὸν legit Heinsius μικρὸν.

Ἀλλὰ κάτω βλέψας, τὰν ἁμετέραν ὁδὸν εἶρπον.
Ἀδεῖ' ἁ φωνὰ τᾶς πορτίος, ἁδὺ τὸ πνεῦμα·
Ἁδὺ δὲ χὠ μόσχος γαρύεται, ἁδὺ δὲ χἁ βῶς,
Ἁδὺ δὲ τῷ θερέος παρ' ὕδωρ ῥέον αἰθριοκοιτεῖν.
Τᾷ δρυῒ ταὶ βάλανοι κόσμος, τᾷ μαλίδι μᾶλα,
Τᾷ βοῒ δ' ἁ μόσχος, τῷ βωκόλῳ αἱ βόες αὐταί.
Ὣς οἱ παῖδες ἄεισαν· ὁ δ' αἰπόλος ὧδ' ἀγόρευεν.

ΑΙ'ΠΟ'ΛΟΣ.

Ἁδύ τι τὸ ςόμα τοι, καὶ ἐφίμερος, ὦ Δάφνι, φωνά.
Κρέσσον μελπομένω τεῦ ἀκούεμεν ἢ μέλι λείχεν.
Λασδεο τὰς συριγγας· ἐνίκησας γὰρ ἀείδων.
Αἰ δέ τι λῇς με καὶ αὐτὸν ἅμ' αἰπολέοντα διδάξαι,
Τήναν τὰν μιτύλαν δωσῶ τὰ δίδακτρα τοι αἶγα,
Ἅτις ὑπὲρ κεφαλᾶς αἰὲν τὸν ἀμόλγεα πληροῖ.
Ὣς μὲν ὁ παῖς ἐχάρη, καὶ ἀνήλατο, καὶ πλατάγησε
Νικήσας· οὕτως ἐπὶ ματέρα νεβρὸς ἅλοιτο·
Ὣς δὲ κατεσμύχθη καὶ ἀνετράπετο φρένα λύπα
Ὥτερος· οὕτω καὶ νύμφα γαμεθεῖσ' ἀκάχοιτο·
Κὴκ τούτω Δάφνις παρὰ ποιμέσι πρᾶτος ἔγεντο,
Καὶ νύμφαν ἄκρηβος ἐὼν ἔτι, Ναΐδα γάμεν.

88. et 90. Pro ὣς μὲν et ὣς δὲ, legi velit Jos. Scaliger ὃς μὲν, ὃς δέ.

91 Legit Scaliger Ὥτερος οὕτω, νύμφα γαμηθεῖσ' ὡς ἀκάχοιτο.

ΥΠΟ'-

Ὑ Π Ο Θ Ε Σ Ι Σ τῆ ί. Εἰδυλλίῳ.

Προσδιαλέγονται ἀλλήλοις ἐν τῷ θερίζειν Μίλων καὶ Βάττος. Ἐρῶν δ' ὁ Βάττος Βομβύκας αὐλητρίδος, Πολυβώτα τινὸς εἴτε θυγατρὸς εἴτε θεραπαίνης, ὀκνηρῶς ἐργάζεται. Καὶ διὰ τοῦτο θυνθανομένῳ τῷ Μίλωνος τί ἕτω βραδέως θερίζει, ὁ Βάττος τὸν αὑτοῦ ἔρωτα δηλοῖ, καὶ ᾠδὴν εἰς τὴν ἐρωμένην αὐτοῦ ἀπαγγέλλει. Παυσάμενον δὲ τῆς ᾠδῆς αἰνεῖ ὁ Μίλων, ὡς πρέπουσαν ἐργάτῃ ᾠδὴν εἰρηκεν.

ἘΡΓΑΤΙΝΑΙ, ἢ ΘΕΡΙΣΤΑΙ.

ΜΙΛΩΝ καὶ ΒΑΤΤΟΣ.

Μ. Ἐργατίνα βουκαῖε, τί νῦν, ὦ ζωρέ, πεπόνθης;
Οὔτε τὸν ὅλμον ἄλλειν ὀρθὸν δύνᾳ, ὡς τοπρὶν ἄγες·
Οὔθ' ἅμα λαιδομεῖς τῷ πλατίον, ἀλλ' ὑπολείπῃ,
Ὥσπερ οἷς ποίμνας, τᾶς τὸν πόδα κάκλος ἔτυψεν.
Ποιός τις δείλαν τὺ καὶ ἐν μέσῳ ἅμαλος ἐσσῇ,
Ὅς νῦν ἀρχόμενος τᾶς αὔλακος ἐκ ἀποτρώγεις;

Β. Μίλων ὀψαμάτα, πέτρας ἀπόκομμ' ἀτεράμνω,
Οὐδαμά τοι συνέβα ποθέσαι τινὰ τῶν ἀπεόντων;

Μ. Οὐδαμά. τις δὲ πόθος τῶν ἔκλοθεν ἐργάτα ἀνδρί;

Β. Οὐδαμά νῦν συνέβα τοι ἀγρυπνῆσαι δι' ἔρωτα;

Μ. Μηδὲ γε ξυμβαίη· καλεπὸν χορίων κύνα γεῦσαι.

Β. Ἀλλ' ἐγώ, ὦ Μίλων, ἔραμαι σχεδὸν ἐνδεκαλαΐος.

Μ. Ἐκ πίθω ἀντλεῖς δῆλον· ἐγὼ δ' ἔχω ὐδ' ἄλις ὄξος.

Β. Τοι-

Β. Τοιγάρ]οι πρὸ θυρᾶν μεῦ ἀπὸ σπόρω ἄσκαλα πάντα.

Μ. Τίς δέ τυ τᾶν παιδῶν λυμαίνε]αι; Β. Ἀ Πολυβώτα,

Ἀ πρὰν ἀμώντεσσι παρ' Ἰπποκόωντι πο]αύλει.

Μ. Εὗρε θεὸς τὸν ἀλι]ρόν· ἔχεις πάλαι ὧν ἐπεθύμεις.

Μάντις τοι τὰν νύκτα χροΐ]ζεται ἁ καλαμαία.

Β. Μωμᾶσθαι μ' ἄρχῃ τύ. τυφλὸς δ' ἐκ αὐτὸς ὁ Πλοῦτος,

Ἀλλὰ καὶ ὢ φρόντιστος Ἔρως. μηδὲν μέγα μυθεῦ.

Μ. Οὐ μέγα μυθεῦμαι. τὺ μόνον κα]άβαλλε τὸ λαῖον,

Καί τι κόρας φιλικὸν μέλος ἀμβάλευ· ἄδιον ἔτως

Ἐργαξῇ· καὶ μὰν πρότερόν ποκα μυσικὸς ἦσθα.

Β. Μῶσαι Πιερίδες, συναείσα]ε τὰν ῥαδινάν μοι

Παῖδ'· ὢν γάρ χ' ἄψεῖσθε, θεαί, καλὰ πάν]α ποιεῖτε.

Βομβύκα χαρίεσσα, Σύραν καλέοντί τυ πάντες,

Ἰσχνάν, ἁλιόκαυσον· ἐγὼ δὲ μόνος μελίχλωρον.

Καὶ τὸ ἴον μέλαν ἐντί, καὶ ἁ γραπ]ὰ ὑάκινθος·

Ἀλλ' ἔμπας ἐν τοῖς σεφάνοις τὰ πρᾶτα λέγον]αι.

Ἀ αἴξ τὸν κύτισον, ὁ λύκος τὰν αἶγα διώκει,

Ἀ γέρανος τῶρ]ρον· ἐγὼ δ' ἐπὶ τὶν μεμάνημαι.

Ἄιθέ μοι ἦσαν ὅσα Κροῖσον πόκα φαν]ὶ πεπᾶσθαι

Χρύσεοι ἀμφότεροί κ' ἀνεκείμεθα τᾶ Ἀφροδίτᾳ·

Τὼς αὐλὼς μὲν ἔχοισα, καὶ ἢ ῥόδον, ἢ τύγε μᾶλον,

Σχῆμα δ' ἐγὼ καὶ καινὰς ἐπ' ἀμφο]έροισιν ἀμύκλας.

Βομβύκα

Βομβύκα χαρίεσσ', οἱ μὲν πόδες ἀσράγαλοί τεῦς,
Ἁ φωνὰ δὲ τρύχνα· τὸν μὰν τρόπον ἐκ ἔχω εἰπεῖν.
M. Ἦ καλὰς ἄμμε ποῶν ἐλελήθει βῶκος ἀοιδάς·
Ὡς εὖ τὰν ἰδέαν τᾶς ἁρμονίας ἐμέτρησεν.
Ὦ μοι τῶ πώγωνος, ὃν ἀλιθίως ἀνέφυσας. 40
Θᾶσαι δὴ καὶ ταῦτα τὰ τῶ θείω Λυτιέρσα·
Δάμαλερ πολύκαρπε, πολύσαχυ, τῦτο τὸ λαῖον
Ἐυεργόν τ' εἴη καὶ κάρπιμον ὀτλιμάλιξα.
Σφίγγετ', ἁμαλλοδέται, τὰ δράγμαλα, μὴ παριών τις
Εἴποι, Σύκινοι ἄνδρες, ἀπώλεθο χ' ἕτος ὁ μισθός· 45
Ἐς βορέην ἄνεμον τᾶς κόρθυος ἁ τομὰ ὔμμιν
Ἦ ζέφυρον βλεπέτω. παιαίνεται ὁ ςάχυς ἕτως.
Σῖτον ἁλοιῶντες φεύγειν τὸ μεσαμβρινὸν ὕπνον·
Ἐκ καλάμης ἄχυρον τελέθει τᾶμοσδε μάλιξα.
Ἄρχεσθαι δ' ἀμωνίας ἐγειρομένω κορυδαλλῶ· 50
Καὶ λήγειν, εὔδοντος· ἐλιννῦσαι δὲ τὸ καῦμα.
Εὐκτὸς ὁ τῶ βαβράχω, παῖδες, βίος· ἃ μελεδαίνει
Τὸν τὸ πιεῖν ἐγχεῦντα· πάρεςι γὰρ ἄφθονον αὐτῷ.
Κάλλιον, ὦ πιμελὰ φιλάργυρε, τὸν φακὸν ἔψειν,
Μὴ πλάμης τὰν χεῖρα καλαπρίων τὸ κύμινον. 55
Ταῦτα χρὴ μοχθεῦντας ἐν ἀλίῳ ἄνδρας ἀείδειν.
Τὸν δὲ τεὸν, Βυκαῖε, πρέπει λιμπρὸν ἔρωτα
Μυθίσδειν τᾷ μαβρὶ κατ' εὐνὰν ὀρθρευούσᾳ.

ΤΡΟ-

ΥΠΟΘΕΣΙΣ τοῦ Ἐνδεκάτου Εἰδυλλίου.

Ὑπόκειται ὁ Κύκλωψ παρηγορῶν ἑαυτοῦ τὸν ἐπὶ Γαλατείᾳ ἔρωτα δι' ᾠδῆς· Προσδιαλέγεται δὲ ὁ Θεόκριτος ἰατρῷ Νικίᾳ, Μιλησίῳ τὸ γένος, ὃς συμφοιτητὴς γέγονεν Ἐρασιστράτου, ἰατροῦ ὄντος καὶ αὐτοῦ. Φέρεται δὲ καί τι ποιημάτιον αὐτοῦ ἀντιγεγραμμένον ὑπὲρ Κύκλωπος πρὸς Θεόκριτον.

ΚΥΚΛΩΨ.

Εἰδύλλιον ιά.

Ὀυδὲν ποττὸν ἔρωτα πεφύκει φάρμακον ἄλλο,
Νικία, οὔτ' ἔγχριστον, (ἐμὶν δοκεῖ) οὔτ' ἐπίπαστον,
Ἢ τοὶ Πιερίδες· κοῦφον δέ τι τοῦτο καὶ ἁδὺ
Γίνετ' ἐπ' ἀνθρώποις· εὑρῆν δ' οὐ ῥάδιόν ἐντί.
Γινώσκεν δ' οἶμαι τὺ καλῶς, ἰατρὸν ἐόντα,
Καὶ ταῖς ἐννέα δὴ πεφιλαμένον ἕξοκα μοίσαις.
Οὕτω γοῦν ῥάϊστα διᾶγ' ὁ Κύκλωψ ὁ παρ' ἡμῖν,
Ὠρχαῖος Πολυφάμος, ὅκ' ἤρατο τᾶς Γαλατείας,
Ἄρτι γενειάσδων περὶ τὸ στόμα τὼς κροτάφως τε.
Ἤρατο δ' οὔτι ῥόδοις, οὐ μάλοις, οὐδὲ κικίννοις,
Ἀλλ' ὀλοαῖς μανίαις· ἀγεῖτο δὲ πάντα πάρεργα.
Πολλάκι ταὶ ὄϊες ποτὶ τ' αὔλιον αὐταὶ ἀπῆνθον
Χλώρας ἐκ βοτάνας· ὁ δὲ, τὰν Γαλάτειαν ἀείδων,

10. Pro κικίνοις videtur legisse Scholiastes στελίνοις. ita legit Heinsius, qui per ῥόδα et σέλινα τοὺς στεφάνους intelligit.

Αὐτῷ

Αὐτῶ ἐπ᾽ αἰόνος κα]εταίκε]ο φυκιοέσσας
Ἐξ αὖς, ἔχθιςον ἔχων ὑποκάρδιον ἕλκος,
Κύπριος ἐκ μεγάλας, τό οἱ ἤπαλι πᾶξε βέλεμνον.
Ἀλλὰ τὸ φάρμακον εὗρε· καθεζόμενος δ᾽ ἐπὶ πέτρας
Ὑψηλᾶς, ἐς πόντον ὁρῶν ἄειδε τοιαῦτα·
Ὦ λευκὰ Γαλάτεια, τί τὸν φιλέοντ᾽ ἀποβάλλῃ;
Λευκοτέρα πακτᾶς ποτιδεῖν, ἁπαλωτέρα ἀρνὸς,
Μόσκω γαυροτέρα, φιαρωτέρα ὄμφακος ὡμᾶς.
Φοιτῇς δ᾽ αὖθ᾽ ἅτως, ὅκκα γλυκὺς ὕπνος ἔχῃ με.
Οἴχῃ δ᾽ εὐθὺς ἰοῖσα, ὅκα γλυκὺς ὕπνος ἀνῇ με
Φεύγεις δ᾽ ὥσπερ ὄϊς πολιὸν λύκον ἀθρήσασα.
Ἠράσθην μὲν ἔγωγε τεῦς, κόρα, ἀνίκα πρᾶτον
Ἦνθες ἐμᾷ σὺν ματρὶ, θέλοισ᾽ ὐακίνθινα φύλλα
Ἐξ ὄρεος δρέψασθαι· ἐγὼ δ᾽ ὁδὸν ἀγεμόνευον.
Παύσασθαι δ᾽ ἐσιδὼν τὺ καὶ ὕςερον ὐδ᾽ ἔτι πω νῦν
Ἐκ τήνω δύναμαι· τὶν δ᾽ ὐ μέλει, ὐ μὰ Δί᾽, ὐδέν.
Γινώσκω, χαρίεσσα κόρα, τίνος ἕνεκα φεύγεις.
Οὕνεκα μοι λασία μὲν ὀφρῦς ἐπὶ πάντι μετώπῳ
Ἐξ ὠτὸς τέταλαι ποτὶ θἠτερον ὥς μία μακρά.
Εἷς δ᾽ ὀφθαλμὸς ἔπεσι· πλατεῖα δὲ ῥὶς ἐπὶ χείλει.
Ἀλλ᾽ ὠὐτὸς, τοιοῦτος ἐὼν, βοτὰ χίλια βόσκω,
Κἠκ τούτων τὸ κράτιςον ἀμελγόμενον γάλα πίνω·
Τυρὸς δ᾽ ὐ λείπει μ᾽ ὔτ᾽ ἐν θέρει, ὔτ᾽ ἐν ὀπώρῃ,
Οὐ χειμῶνος ἄκρω· ταρσοὶ δ᾽ ὑπεραχθέες αἰεί.
Συρίσδεν δ᾽ ὡς ὔτις ἐπίσαμαι ὧδε Κυκλώπων,

21. Φιαρωτέρα] Omnia hic in laudationem τῆς ἰρωμίνης effutit insanus amator: per φιαρὸν itaque nulla asperitas notatur. φιαρὸν est *splendens*. Casaub.

Τὶν, τὸ φίλον γλυκύμαλον, ἁμᾶ κἠμαυτὸν ἀείδων,
Πολλάκι νυκτὸς ἀωρί. τρέφω δέ τοι ἕνδεκα νεβρὼς,
Πάλας ἀμνοφόρως, καὶ σκύμνως τέσσαρας ἄρκτων.
Ἀλλ' ἀφίκευ τὺ ποτ' ἄμμε, καὶ ἑξεῖς οὐδὲν ἔλασσον.
Τὰν γλαυκὰν δὲ θάλασσαν ἔα ποτὶ χέρσον ὀρεχθῆν.
Ἅδιον ἐν τὤντρῳ παρ' ἐμὶν τὰν νύκτα διαξεῖς·
Ἐντὶ δάφναι τηνεὶ, ἐντὶ ῥαδιναὶ κυπάρισσοι,
Ἐντὶ μέλας κισσὸς, ἔντ' ἄμπελος ἁ γλυκύκαρπος,
Ἐντὶ ψυχρὸν ὕδωρ, τό μοι ἁ πολυδένδρεος Αἴτνα
Λευκᾶς ἐκ χιόνος, ποτὸν ἀμβρόσιον, προΐητι.
Τίς κεν τῶνδε θάλασσαν ἔχειν, ἢ κύμαθ' ἕλοιτο;
Αἰ δέ τοι αὐτὸς ἐγὼ δοκέω λασιώτερος ἦμες,
Ἐντὶ δρυὸς ξύλα μοι, καὶ ὑπὸ σποδῷ ἀκάματον πῦρ.
Καιόμενος δ' ὑπὸ τεῦς καὶ τὰν ψυχὰν ἀνεχοίμαν,
Καὶ τὸν ἕν' ὀφθαλμὸν, τῶ μοι γλυκερώτερον οὐδέν.
Ὦ μοι, ὅτ' οὐκ ἔτεκέν μ' ἁ μάτηρ βράγχι' ἔχοντα,
Ὡς κατέδυν ποτὶ τὶν· ἔφερον δέ τοι ἢ κρίνα λευκὰ,
Ἢ μάκων' ἁπαλὰν ἐρυθρὰ πλαταγώνι' ἔχοισαν.

41. Μαννοφόρως· γράφεται γὰρ ἔν τισι καὶ οὕτω. μάννος δὲ ἐστιν, ὁ περιτραχήλιος κόσμος, τὸ λεγόμενον μαννάκιον. vulg. ἀμνοφόρως.

42. ΑΛΛ. Ἀλλ' ἐλθὲ πρὸς ἐμέ. καὶ οὐχ' ἧττον ἐμοῦ ἕξεις. δηλονότι, ὁμοίως ἐμοὶ ἀπολαύσεις τῶν ἐμῶν.

49. ΤΙΣ. Ἤγουν, τὶς τοσαῦτα ἔχων ὅσα ἐγὼ ἔχω δηλονότι, ἀφεὶς ταῦτα προέλοιτο, ἤγουν προκρίνοι οἰκεῖν θάλασσαν καὶ κύματα.

52. Pro καὶ τὰν legit Heinsius καττὰν, i. e. κατὰ τάν. et interpretatur ita locum: "Quamvis certè sufficere mihi poterat ignis ille, quo a te cor meum uritur."

53. Pro Καὶ τὸν legit idem Ναὶ τὸν—*per unicum oculum.*

7. ΕΡΥ. Τὰ τῆς μήκωνος φύλλα φησὶ, καὶ τὰ τῆς ἀνεμώνης, ἀπὸ τοῦ [illegible]σειν, ὅ ἐστι ψοφεῖν. τιθέντες γὰρ αὐτὰ κατὰ τὸν ἀντίχειρα καὶ τὸν λιχανὸν

Ἀλλὰ τὰ μὲν θέρεος, τὰ δὲ γίνεται ἐν χειμῶνι·
Ὣς ἐκ ἄν τοι ταῦτα φέρειν ἅμα πάντ' ἐδυνάθην.
Νῦν μὰν, ὦ κόριον, νῦν αὐτόθι νεῖν γε μαθεῦμαι,
Αἴκα τις σὺν ναῒ πλέων ξένος ὧδ' ἀφίκηται·
Ὥς κεν ἴδω τί ποθ' ἁδὺ κατοικεῖν τὸν βυθὸν ὔμμιν.
Ἐξένθοις, Γαλάτεια, καὶ ἐξενθοῖσα λάθοιο
(Ὥσπερ ἐγὼ νῦν ὧδε καθήμενος) οἴκαδ' ἀπενθεῖν·
Ποιμαίνειν δ' ἐθέλοις σὺν ἐμὶν ἅμα, καὶ γάλ' ἀμέλγειν,
Καὶ τυρὸν πᾶξαι, τάμισον δριμεῖαν ἐνεῖσα.
Ἁ μάτηρ ἀδικεῖ με μόνα, καὶ μέμφομαι αὐτᾷ·
Οὐδὲν πᾷ ποχ' ὅλως ποτί τιν φίλον εἶπεν ὑπέρ μεῦ,
Καὶ ταῦτ', ἆμαρ ἐπ' ἆμαρ ὁρεῦσά με λεπτὰν ἐόντα.
Φασῶ τὰν κεφαλὰν καὶ τὼς πόδας ἀμφοτέρως μεῦ
Σφύσδειν, ὡς ἀνιαθῇ· ἐπεὶ κἠγὼν ἀνιῶμαι.
Ὦ Κύκλωψ, Κύκλωψ, πᾷ τὰς φρένας ἐκπεπότασαι;
Αἴκ' ἐνθὼν ταλάρως τε πλέκοις, καὶ θαλλὸν ἀμάσας
Τοῖς ἄρνεσσι φέροις. τάχα κεν πολὺ μᾶλλον ἔχοις νῦν.
Τὰν παρεοῖσαν ἄμελγε· τί τὸν φεύγοντα διώκεις;
Εὑρήσεις Γαλάτειαν ἴσως καὶ καλλίον' ἄλλαν.
Οὕτω τοι Πολύφαμος ἐποίμαινεν τὸν ἔρωτα,
Μυσίσδων· ῥᾷον δὲ διᾶγ', ἢ χρυσὸν ἔδωκεν.

λιχανὸν δάκτυλον, τύπτουσι τῇ ἑτέρᾳ χειρὶ, καὶ οὕτω σημειοῦνται, εἰ ἀγαπῶνται ὑπὸ τῶν ἐρωμένων.

77. ΟΥΤ. Πρὸς τὸν Νικίαν ὁ λόγος ἀπὸ τοῦ ποιητοῦ. οὕτως ὁ Πολύφημός, φησι, μετεχειρίζετο, τὸν ἔρωτα ἐθεράπευε μελουργῶν.

Ibid. Ἐποίμαινεν] Βουκολεῖν et ποιμαίνειν utrumque est νέμειν. Nihil autem Græcis usitatius, quam τῷ βουκολεῖν ἀντὶ τοῦ κουφίζειν uti *mitigare*. Heinsius.

78. ΡΑ. Εὐχερέστερον δὲ διέζη, ἢ, εἰ χρυσίον εἶχε δοῦναι, ὅπως πείσῃ τὴν Γαλάτειαν.

Ὑποθεσις τῦ Τρισκαιδεκάτυ Εἰδυλλίυ.

Τῦτο μὲν τὸ Εἰδύλλιον ὅλως διηγηματικόν ἐστιν. ἐκλέλοιθε γὰρ ὁ ποιητὴς τῦ μὲν Ὕλα τὴν ὑπὸ τῶν Νυμφῶν ἁρπαγήν, ὅταν εἰς τὴν κρήνην ἐπιδόρπιον ὕδωρ τῷ Ἡρακλεῖ κομίσων ἀπέχελο· τῦ δὲ Ἡρακλέος τὴν πλάνην, καὶ τὴν ὑπὲρ τῦ Ὕλα βάσανον.

Ὕλας.

Οὐχ ἁμῖν τὸν Ἔρωτα μόνοις ἔτεχ', ὡς ἐδοκεῦμες,
Νικία, ὥτινι τῦτο θεὼν ποκα τέκνον ἔγενλο.
Οὐχ ἁμῖν τὰ καλὰ πράτοις καλὰ φαίνεται ἤμες,
Οἱ θναλοὶ πελόμεσθα, τὸ δ' αὔριον οὐκ ἐσορῶμες·
Ἀλλὰ καὶ Ἀμφιρύωνος ὁ χαλκεοκάρδιος υἱὸς,
Ὅς τὸν λῖν ὑπέμεινε τόν ἄγριον, ἥρλο παιδὸς
Τῷ χαρίενλος Ὕλα, τῷ τὰν πλοκαμῖδα φορεῦντος,
Καί μιν πάντ' ἐδίδαξε, πατὴρ ὡσεὶ φίλον υἷα,
Ὅσσα μαθὼν, ἀγαθὸς καὶ ἀοίδιμος αὐτὸς ἔγενλο·
Χωρὶς δ' ὐδέποκ' ἦς, οὐδ' εἰ μέσον ἄμαρ ὄροιλο,
Οὐδ' ὅκα ἁ λευκιππος ἀναλρέχει ἐς Διὸς ἀῶς,
Οὐθ' ὁπόκ' ὀρτάλιχοι μίνυροὶ ποτὶ κοῖτον ὁρῶεν,
Σεισαμένας πλερὰ μάλρὸς ἐπ' αἰθαλόενλι πελεύρῳ·

4. Ἐσορῶμες] Εἰσορᾶν pro *in vivis esse* non male accipit Scholiastes. Sic apud Tragicos βλέπειν sæpe, et apud Homerum δέρκομαι. *Casaub.*

11. Pro ἐς Διὸς legit ἐκ Διὸς Heinsius.

Ὡς

Ὡς αὐτῷ κατὰ θυμὸν ὁ παῖς πεπονημένος εἴη,
Αὐτῷ δ' εὖ ἔλκων ἐς ἀληθινὸν ἄνδρ' ἀποβαίη.
Ἀλλ' ὄκα τὸ χρύσειον ἔπλει μετὰ κῶας Ἰήσων
Αἰσονίδας, οἱ δ' αὐτῷ ἀριςῆες συνέποντο,
Πασᾶν ἐκ πολίων προλελεγμένοι, ὧν ὄφελός τι·
Ἵκετο καὶ ταλαεργὸς ἐς ἀφνειὰν Ἰαολκὸν
Ἀλκμήνας υἱὸς Μιδεάτιδος ἡρωΐνας·
Σὺν δ' αὐτῷ κατέβαινεν Ὕλας εὔεδρον ἐς Ἀργώ,
Ἄτις Κυανεᾶν ὐχ ἥψαλο συνδρομάδων ναῦς,
Ἀλλὰ διεξάϊξε, βαθὺν δ' εἰσέδραμε Φᾶσιν,
Αἰετὸς ὡς, μέγα λαῖτμα, ἀφ' ὧ τότε χοιράδες ἔσαν.
Ἅμος δ' ἀντέλλοισι Πελειάδες, ἐσχαλιαὶ δὲ
Ἄρνα νέον βόσκοισι, τετραμμένα εἴαρος ἤδη·
Τᾶμος ναυτιλίας μιμνάσκετο θεῖος ἄωτος.
Ἡρώων κοίλαν δὲ καθιδρυνθέντες ἐς Ἀργὼ,
Ἑλλάσποντον ἵκοντο, νότῳ τρίτον ἆμαρ ἀέντι·

15. Εἴρηται δὲ μεταφορικῶς, ἀπὸ τῶν βοῶν τῶν ἐκ νέου εἰθισμένων καλῶς ἕλκειν.

Ibid. Pro ἕλκων legit Heinsius ἥκων.

Ibid. Ἀληθινόν. Scholiastes interpretatur ἀνδρεῖον. potes et pro justo accipere. Priscianus lib. xvii. "Justum pro vero, et ve-"rum pro justo, frequenter tam nos quam Attici ponimus." *Casaub.*

16. Ita ὅτε τὸ legit Heins. ὁκόταν.

20. ΜΙΔ. Μίδεια πόλις Ἄργος· οἱ δὲ κώμην αὐτὴν φασιν. Ἀργεῖα δὲ καὶ ἡ Ἀλκμήνη.

25. ΑΝΤ. Περὶ ἀναλολὴν φησι τῶν Πελειάδων ἤρξαντο σίλλεσθαι τὸν πολῶν, καὶ ἀνάγεσθαι οἱ ἥρωες εἰς Κόλχους. ἔτι δὲ ὁ καιρὸς ἀρχομένου τοῦ θέρους. διὸ καὶ ἐπήγαγε, τέτραμμένα εἴαρος· τουτέστι, λήξαντος.

Ibid. Ἐσχαλιαί] Appellant Græci ἐσχαλιὰς singulorum agros suis finibus distinctos et separatos. Et sic Hesychius. *Casaub.*

Εἴσω

Εἴσω δ' ὅρμον ἔθεντο Προποντίδος, ἔνθα Κιανῶν
Αὔλακας εὐρύνοντι βοὲς τρίβοντες ἄροτρον.
Ἐκβάντες δ' ἐπὶ θῖνα, κατὰ ζυγὰ δαῖτα πένοντο
Δειελινοί· πολλοὶ δὲ μίαν ςορέσαντο χαμεύναν.
Λειμὼν γάρ σφιν ἔκειτο, μέγα ςιβάδεσσιν ὄνειαρ·
Ἔνθεν βύτομον ὀξὺ, βαθὺν δ' ἐτάμοντο κύπειρον.
Κῴχεθ' Ὕλας ὁ ξανθὸς ὕδωρ ἐπιδόρπιον οἰσῶν
Αὐτῷ θ' Ἡρακλῆϊ καὶ ἀςεμφεῖ Τελαμῶνι,
(Οἱ μίαν ἄμφω ἑταῖροι ἀεὶ δαίνυντο τράπεζαν)
Χάλκεον ἄγγος ἔχων· τάχα δὲ κράναν ἐνόησεν
Ἡμένῳ ἐν χώρῳ· περὶ δὲ θρύα πολλὰ πεφύκη,
Κυάνεόν τε χελιδόνιον, χλοερόν τ' ἀδίαντον,
Καὶ θάλλοντα σέλινα, καὶ εἰλιτενὴς ἄγρωςις·
Ὕδατι δ' ἐν μέσσῳ νύμφαι χορὸν ἀρτίζοντο,
Νύμφαι ἀκοίμητοι, δειναὶ θεαὶ ἀγροιώταις,
Εὐνίκα; καὶ Μαλὶς, ἔαρ θ' ὁρόωσα Νυχεία.
Ἤτοι ὁ κῶρος ἐπεῖχε ποτῷ πολυχανδέα κρωσσὸν,
Βάψαι ἐπειγόμενος· ταὶ δ' ἐν χερὶ πᾶσαι ἔφυσαν.
Πασάων γάρ ἔρως ἁπαλὰς φρένας ἀμφεκάλυψεν
Ἀργείῳ ἐπὶ παιδί· κατήριπε δ' ἐς μέλαν ὕδωρ
Ἀθρόος, ὡς ὅκα πυῤῥὸς ἀπ' ὠρανῶ ἤριπεν ἀςὴρ

30. ΕΝ. Εἰς τὸν τόπον τῶν Κιανῶν. Κιανοὶ γὰρ οἱ τὴν Κῖον οἰκοῦντες· ἥτις νῦν καλεῖται Πρῦσα, ἀπὸ τοῦ τῶν Ἀθηνῶν βασιλέως Πρυσίου.

31. Pro Εὐρύνοντι legit Heinsius εὐθύνοντι, quod quidem verbum videtur magis proprium arationis.

35. Δειλινοὶ metro repugnat potest legi Δειελινοὶ Ion. Δειελινὸς ζόφος apud Apollonium Rhod. et ὑπὸ δειελοῦ.

40. Ἡμένῳ] Sic Sallustius et Silius *locum sedentem* vocant humilem. *Heins.*

Ἀθρόος

Ἀθρόες ἐς πόντῳ· ναύταις δέ τις εἶπεν ἑταῖρος,
Κυφότερ' ὦ παῖδες, ποιεῖσθ' ὅπλα· πλευσικὸς ἄρης.
Νύμφαι μὲν σφετέροις ἐπὶ γένασι κῦρον ἔχοισαι
Δακρυόεντ', ἀγαίνοῖσι παρειψύχοντ' ἐπέεσσιν.
Ἀμφίρυωπάδας δὲ ταρασσόμενος περὶ παιδί, 55
Ὤχετο, Μαιωτιςὶ λαβὼν εὐκαμπέα τόξα,
Καὶ ῥόπαλον, τό οἱ αἰὲν ἐχάνδανε δεξιτερὴ χείρ.
Τρὶς μὲν Ὕλαν ἄϋσεν ὅσον βαθὺς ἤρυγε λαιμός·
Τρὶς δ' ἄρ' ὁ παῖς ὑπάκουσεν· ἀραιὰ δ' ἴκελο φωνὰ
Ἐξ ὕδατος· παρεὼν δὲ μάλα σχέδον, εἶδέλο πόρρω. 60
Ὡς δ' ὁπόκ' ἠὐγένειος ἀπόπροθι λῖς ἐσακούσας
Νεβρῷ φθεγξαμένας τις ἐν ὤρεσιν, ὠμοφάγος λὶς,
Ἐξ εὐνᾶς ἔσπευσεν ἑτοιμολάτην ἐπὶ δαῖτα·
Ἡρακλέης τοιοῦτος ἐν ἀτρίπλοισιν ἀκάνθαις
Παῖδα ποθῶν δεδόνατο, πολὺν δ' ἐπελάμβανε χῶρον.
Σχέτλιοι οἱ φιλέοντες· ἀλώμενος ὅσσ' ἐμόγησεν 66
Ὥρεα καὶ δρυμώς· τὰ δ' Ἰάσονος ὕστερα πάντ' ἦς.
Ναῦς μένεν ἄρμεν' ἔχοισα μετάρσια· τῶν παρεόντων
Ἰσία δ' ἡίθεοι μεσονύκτιον ἐξεκάθαιρον,
Ἡρακλῆα μένοντες· ὁ δ' ᾗ πόδες ἄγον, ἐχώρει 70
Μαινόμενος· χαλεπὰ γὰρ ἔσω θεὸς ἦπαρ ἄμυσσεν.
Οὕτω μὲν κάλλιστος Ὕλας μακάρων ἀριθμεῖται.
Ἡρακλέην δ' ἥρωες ἐκερτόμεον λιποναύταν,
Οὕνεκεν ἠρώησε τριακοντάζυγον Ἀργώ.
Πεζὸς δ' ἐς Κόλχως τε καὶ ἄξενον ἵκετο Φᾶσιν. 75

72. Dicunt Græci ἀριθμῶσι μακαρων, ſicut Horatius, *Fœs fonſeiem.* Heinſ.

Τ Π Ο-

ΥΠΟΘΕΣΙΣ τῆς Πεντεκαιδεκάτης Εἰδυλλίου.

Ἐπιγράφεται μὲν τοῦτο τὸ εἰδύλλιον Συρακούσιαι ἢ Ἀδωνιάζουσαι. ὑπόκειται δέ τινας Συρακουσίας τὸ γένος, παρεπιδημούσας ἐν Ἀλεξανδρείᾳ, καὶ ἐπὶ θέαν ἐξιέναι τῆς πομπῆς τῆς κομισθείσης Ἀδώνιδος ὑπὸ Ἀρσινόης τῆς τοῦ Πτολεμαίου τοῦ Φιλαδέλφου γυναικός. ἦθος δὲ εἶχον οἱ ἐν Ἀλεξανδρείᾳ τοῖς Ἀδωνίοις, διακομισάντας τὰ εἴδωλα τοῦ Ἀδώνιδος μετὰ τῶν νομιζομένων ἐπὶ τὴν θάλασσαν κομίζειν. Διαγράφει δὲ ὁ Θεόκριτος, χαριζόμενος τῇ βασιλίδι, ἅδουσάν τινα, καὶ τὴν πολυτέλειαν τῆς Ἀρσινόης δι' ὧδῆς ἀπαγγέλλουσαν.

ΣΥΡΑΚΟΥΣΙΑΙ, ἢ ΑΔΩΝΙΑΖΟΥΣΑΙ.

ΓΟΡΓΩ, ΕΥΝΟΗ, ΠΡΑΞΙΝΟΗ, ΓΡΑΥΣ, ΞΕΝΟΣ.

ΕΝδοῖ Πραξινόα; ΕΥ. Γοργοῖ φίλα, ὡς χρόνῳ; ἐνδοῖ.

ΠΡΑΞΙΝΟΗ.

Θαῦμ' ὅτι καὶ νῦν ἦνθες! ὅρη δίφρον, Εὐνόα, αὐτᾷ·
Ἔμβαλε καὶ ποτίκρανον. ΕΥ. ἔχει κάλλιστα. ΠΡ. Καθίζευ.

ΓΟΡΓΩ.

Ὤ τᾶς ἀδαμάτω ψυχᾶς· μόλις ὔμμιν ἐσώθην,
Πραξινόα, πολλῷ μὲν ὄχλῳ, πολλῶν δὲ τεθρίππων. 5

3. Ἔχει κάλλιστα] Has voces Gorgoni tribuit Casaubonus.
4. Pro ἀδιμάτω legit Jos. Scaliger ἀλιμάτω. Casaubonus ἀδαμάτω.

Παντᾷ

Παντᾷ κρηπῖδες, παντᾷ χλαμυδηφόροι ἄνδρες.
Ἁ δ' ὁδὸς ἄτρυτος· τὺ δ' ἑκαςοτέρω ἐμ' ἀποικεῖς.

ΠΡΑΞΙΝΟΗ.

Ταῦθ' ὁ πάραρος τῆνος ἐπ' ἔσχατα γῆς ἔλαβ' ἐνθὼν,
Ἴλεον, ὐκ οἴκησιν· ὅπως μὴ γείτονες ὦμες
Ἀλλάλαις, ποτ' ἔριν φθονερὸν κακὸν αἰὲν ἐμεῖο.

ΓΟΡΓΩ.

Μὴ λέγε τὸν τέον ἄνδρα, φίλα, Δείνωνα τοιαῦτα,
Τῶ μικκῶ παρεόντος· ὅρη, γύναι, ὡς ποθορῇ τύ.

ΠΡΑΞΙΝΟΗ.

Θάρσει, Ζωπυρίων, γλυκερὸν τέκος, ὐ λέγω ἀπφῦν.

ΓΟΡΓΩ.

Αἰσθάνεται τὸ βρέφος, ναὶ τὰν πότνιαν· καλὸς ἀπφῦς.

ΠΡΑΞΙΝΟΗ.

Ἀπφῦς μὲν τῆνος πρώαν (λέγομες δὲ πρώαν θὴν
Πάντα) νίτρον καὶ φῦκος ἀπὸ σκανᾶς ἀγοράσδων,
Ἦνθε φέρων ἅλας ἄμμιν, ἀνὴρ τρισκαιδεκάπηχυς.

7. Pro ἑκαςοτέρω ἐμ' iegit idem ἑκαςοτέρω μεῦ.

8. ΠΑΡ. Ἡ Πραξινόα ταῦτά φησι περὶ τῦ ἰδίυ ἀνδρός· ὅτι μακρὰν ἐμισθώσατο τὴν οἰκίαν. πάραρος δὲ, ὁ παρηρτημένος τὴν γνώμην, ὁ ἀνάρμοστος, ὁ ἀχρήσιμος καὶ μάταιος, ἐκ μεταφορᾶς τῶν παρήρων ἵππων, οἵ τινες τῷ ζυγῷ ὐ χρησιμεύουσιν.

13. ΑΠΦ. Οὕτω τὸν πατέρα καλῦσιν ἀφ' ὗ τις πέφυκεν.

14. ΝΑΙ. Ναὶ μὰ τὴν θεόν. ναὶ μὰ τὴν κόρην. εὖ δὲ τὸ, τὰς Συρακυσίας ταύτην ὀμνύναι· φασὶ γὰρ τὸν Δία τῇ Περσεφόνῃ τὴν Σικελίαν δωρήσασθαι.

16. Σκανᾶς] Quam σκηνὴν vocat, hic, eam Juvenalis casam—*obstat casa candida nautis.* Pergulam institoriam intelligit, in quâ utensilia venibant. *Scal.*

Digitized by Google

ΓΟΡΓΩ'.

Χώμὸς ταῦτὰ γ' ἔχει, φθόρος ἀργυρίω, Διοκλείδας·
Ἐπτὰ δραχμῶν, κυνάδας, γραιᾶν ἀποτίλματα πηρᾶν,
Πέντε πόκως ἔλαβ' ἐχθὲς, ἅπαν ῥύπον, ἔργον ἔπ' ἔργῳ.
Ἀλλ' ἴθι, τὠμπέχονον καὶ τὰν περονατρίδα λαζεῦ.
Βᾶμες τῶ βασιλῆος ἐς ἀφνειῶ Πτολεμαίω,
Θασόμεναι τὸν Ἄδωνιν. ἀκούω χρῆμα καλόν τι
Κοσμῆν τὰν βασίλισσαν. ΠΡ. Ἐν ὀλβίῳ ὄλβια πάντα.
Ὧν εἶδες, χ' ὧν εἶπας, ἰδοῖσα τὺ τῷ μὴ ἰδόντι.

ΓΟΡΓΩ'.

Ἕρπειν ὥρα κ' εἴη· ἀεργοῖς αἰὲν ἑορτά.

ΠΡΑΞΙΝΟ'Η.

Εὐνόα, αἶρε τὸ νᾶμα, καὶ ἐς μέσον αἰνόθρυπτε
Θὲς πάλιν. αἱ γαλέαι μαλακῶς χρῄσδοντι καθεύδεν.
Κινεῦ δὴ, φέρε θᾶσσον ὕδωρ· ὕδατος πρότερον δεῖ.
Ἁ δ' ὡς νᾶμα φέρει. δὸς ὅμως· μὴ πυλὺ, ἄπληστε,
Ἔγχει ὕδωρ· δύσανε, τί μεῦ τὸ χιτώνιον ἀρδεῖς;
Παῦσαι· ὁκοῖα θεοῖς ἐδόκει, τοιαῦτα νένιμμαι.
Ἁ κλὰξ τᾶς μεγάλας πᾷ λάρνακος; ᾧδε φέρ' αὐτάν.

ΓΟΡΓΩ'.

Πραξινόα, μάλα τοι τὸ καταπτυχὲς ἐμπερόναμα
Τοῦτο πρέπει. λέγε μοι, πόσσω κατέβα τοι ἀφ' ἱστῶ;

19. Legit Scaliger——κινάδων γραιάν ἀποτίλματα πυῤῥῶν, vulpinos scilicet pilos pro lanâ attulit.

20. ΠΕΝ. Οὐκ ἔρια, ἀλλ' ἔργον ἐπὶ ἔργῳ, διὰ τὸ δὶς αὐτὸ πλύνεσθαι, κυνάδας δὲ οἷον τραχέα.

25. ΕΙΠ. Ἀντὶ τοῦ, ἐξ ὧν εἶπες, καὶ ἐξ ὧν ἐθεάσω, ἐκ τούτων διηγήσαιο ἂν τῷ μὴ θεασαμένῳ.

34. ΜΑ. Τὸ δίπτυχον ἐμπερόνημα καὶ διπλοῦν. Et sic Hesychius.

ΠΡΑΞΙ-

ΠΡΑΞΙΝΟΉ.

Μὴ μνάσῃς, Γοργοῖ· πλέον ἀργυρίω καθαρῶ μνᾶν
Ἡ δύο. τοῖς δ' ἔργοις καὶ τὰν ψυχὰν ποτέθηκα.

ΓΟΡΓΩ.

Ἀλλὰ κατὰ γνώμαν ἀπέβα τοι. Πρ. Πᾷ ποκ' ἔλειπες
Τὠμπέχονον; φέρε μοι καὶ τὰν θολίαν· κατὰ κόσμον
Ἀμφίθες. οὐκ ἀξῶ τὺ, τέκνον· μορμὼ, δάκνει ἵππος.
Δάκρυε ὅσσα θέλεις· χωλὸν δ' οὐ δεῖ τὺ γενέσθαι.
Ἕρπωμες. Φρυγία, τὸν μικκὸν, παῖσδε, λαβοῖσα,
Τὰν κύν' ἔσω κάλεσον, τὰν αὐλείαν ἀπόκλαξον.
Ὦ θεοὶ, ὅσσος ὄχλος! πῶς καὶ πόκα τοῦτο περᾶσαι
Χρὴ τὸ κακόν! μύρμακες ἀνάριθμοι καὶ ἄμετροι.
Πολλά τοι, ὦ Πτολεμαῖε, πεποίηται καλὰ ἔργα.
Ἐξ ὦ ἐν ἀθανάτοις ὁ τεκών· οὐδεὶς κακοεργὸς
Δαλεῖται τὸν ἴοντα, παρέρπων Αἰγυπτιστί·
Οἷα πρὶν ἐξ ἀπάτας κεκροταμένοι ἄνδρες ἔπαισδον,
Ἀλλάλοις ὁμαλοὶ, κακὰ παίγνια, πάντες ἐρειοί.
Ἁδίστα Γοργοῖ, τί γενοίμεθα; τοὶ πτολεμισταὶ
Ἵπποι τῷ βασιλῆος. ἄνερ φίλε, μή με πατήσῃς.
Ὄρθος ἀνέστα ὁ πυῤῥός. ἴδ' ὡς ἄγριος· κυνοθαρσής

39. Τὴν θολίαν, ἤγων τὸ σκιάδιον. εἴρηται δὲ, ἀπὸ θόλῳ ἐοικέναι. οἱ δὲ Ἀττικοὶ τὸ σκιάδιον, σκίῤῥον καλοῦσι.

40. Εἰς κατάπληξιν τοῦτο ἔλεγεν, ὅθεν καὶ τὰ προσωπεῖα, μορμολύκεια ἔλεγον.

Ib. Μορμὼ adverbialiter sumit et exponit per φεῦ Dan. Heins.

47. ΤΕΚ. Ἐξ οὗ ὁ πατήρ σου ἀποθεώθη, ὁ Σωτὴρ Πτολεμαῖος, ὃς ἦν πατὴρ τοῦ Φιλαδέλφου.

50. Pro ἐρειοὶ legit Scaliger ἐρεμβοί. Ἐρεμβοὶ apud Hesychium sunt Νομάδες, Αἰθίοπες, Ἰνδοὶ, Ἀράβιοι. Forsan legendum ἐρεμνοί. Causabonus, ἄρειοι, armis succincti.

Εὐνόα, ἐ φευξῆ; διαχρησεῖται τὸν ἄγονλα.
Ὠνάθην μεγάλως, ὅτι μοι τὸ βρέφος μένει ἔνδοῖ. 55

ΓΟΡΓΩ.

Θάρσει, Πραξινόα· καὶ δὴ γεγενήμεθ' ὄπισθεν.
Τοὶ δ' ἔβαν ἐς χώραν. ΠΡ. Καὐτὰ συναγείρομαι ἤδη·
Ἵππον καὶ τὸν ψυχρὸν ὄφιν ταμάλισα δεδοίκω
Ἐκ παιδός. σπεύδωμες· ὅσος ὅχλος ἄμμιν ἐπιῤῥεῖ!

ΓΟΡΓΩ.

Ἐξ αὐλᾶς, ὦ μᾶτερ; Γρ. Ἐγὼν, ὦ τέκνα. Γο. Παρενθεῖν 60
Ἐυμαρές; Γρ. Ἐς Τροίην πειρώμενοι ἦλθον Ἀχαιοί.
Καλλίσα παίδων, πείρα θὴν πάντα τελεῖται.

ΓΟΡΓΩ.

Χρησμὼς ἀ πρεσβῦτις ἀπώχε[το θεσπίξασα.
Πάνλα γυναῖκες ἴσανλι, καὶ ὡς Ζεὺς ἠγάγεθ' Ἥρην.
Θᾶσαι, Πραξινόα, περὶ τὰς θύρας ὅσσος ὅμιλος. 65

ΠΡΑΞΙΝΟΗ.

Θεσπέσιος Γοργοῖ, δὸς τὰν χέρα μοι· λαβὲ καὶ τύ,
Εὐνόα, Εὐτυχίδος· πότεχ' αὐτᾶ, μὴ τυ πλανηθῆς.
Πᾶσαι ἅμ' εἰσένθωμες· ἀπρίξ ἔχευ, Εὐνόα, ἀμῶν·
Ὦ μοι δειλαία, δίχα μευ τὸ θερίσριον ἤδη
Ἔσχισαι, Γοργοῖ· ποτ[ῶ Διὸς, εἶτι γένοιο 70
Εὐδαίμων, ὦ ἄνθρωπε, φυλάσσεο τὠμπέχονόν μευ.

58. ΨΥΧ. Ἤγων τὸν ψυχροποιόν.
64. Hoc videtur Plautus imitatus:
Id quod in aurem rex reginæ dixerit,
Sciunt: quod Juno fabulata est cum Jove. *Casaub.*

ΞΕΝΟΣ.

Digitized by Google

ΞΕΝΟΣ.

Οὐκ ἐπ' ἐμὶν μὲν· ὅμως δὲ φυλάξομαι. ΠΡ. Ἀθρόος ὄχλος·
Ὡθεῦνθ' ὥσπερ ὕες. ΞΕ. Θάρσει, γύναι. ἐν καλῷ εἰμές.

ΠΡΑΞΙΝΟΗ.

Κ' εἰς ὥρας, κἤπειλα, φιλ' ἀνδρῶν, ἐν καλῷ εἴης,
Ἄμμε περισέλλων· χρησῶ κ' οἰκλίρμονος ἀνδρός·
Φλίβεται Εὐνόα ἄμμιν· ἄγ', ὦ δειλὰ, τὺ βιάζευ.
Κάλλις· ἐνδοῖ πᾶσαι, ὁ τὰν νυὸν εἶπ' ἀποκλάξας.

ΓΟΡΓΩ.

Πραξινόα, πόταγ' ὧδε· τὰ ποικίλα πρᾶτον ἄθρησον,
Λεπτὰ καὶ ὡς χαρίεντα· θεῶν περονάματα φασεῖς.

ΠΡΑΞΙΝΟΗ.

Πότνι' Ἀθηναία, ποῖαί σφ' ἐπόνασαν ἔριθοι;
Ποῖοι ζωγράφοι τἀκριβέα γράμματ' ἔγραψαν;
Ὡς ἔτυμ' ἑστήκαντι, καὶ ὡς ἔτυμ' ἐνδινεῦντι!
Ἔμψυχ', ἐκ ἐνυφαντά· σοφόν τι χρῆμ' ὤνθρωπος.
Αὐτὸς δ' ὡς θαητὸς ἐπ' ἀργυρέῳ καλάκειται
Κλισμῷ, πρᾶτον ἴσλον ἀπὸ κροτάφων καταβάλλων,
Ὁ τριφίλατος Ἄδωνις, ὃ κἠν Ἀχέροντι φιλεῖται.

ΞΕΝΟΣ.

Παύσασθ', ὦ δύσανοι, ἀνάνυτα κωτίλλοισαι

76. Pro θλίβεται legit Caſaub. φλίβεται Æolice ex Euſtathio.

77. Ὁ ΤΑΝ. Ὡς παροιμίας ὄσης, ἀποκλείσας τὴν νύμφην τὶς, καλῶς τάγε ἔνδον ἡμῖν ἔχει, φησὶ, διὸ καὶ ἡ Γοργὼ ὕστως ἐφώνησεν.

87. ΠΑΥ. Παύσασθέ, φησιν, ὦ ἐπίκοποι ἀνήνυτα καὶ ἄπειρα κωτίλλοισαι, ἤγουν ἀπολυλογῆσαι. κωτίλην γὰρ λέγουσι τὴν χελιδόνα.

Τρυγόνες

Τρυγόνες· ἐκκναισεῦντι πλατυάσδοισαι ἅπαντα.

ΓΟΡΓΩ.

Μᾶ, πόθεν ὤνθρωπος; τί δὲ τίν, εἰ κωτίλαι εἰμές;
Πασάμενος ἐπίτασσε. Συρακοσίαις ἐπιτάσσεις;
Ὡς εἰδῇς καὶ τοῦτο, Κορίνθιαι εἰμὲς ἄνωθεν,
Ὡς καὶ ὁ Βελλεροφῶν. Πελοποννασιστὶ λαλεῦμες.
Δωρίσδεν δ' ἔξεστι (δοκῶ) τοῖς Δωρίεεσσι.

ΠΡΑΞΙΝΟΉ.

Μὴ φυῇ, μελιτῶδες, ὃς ἁμῶν καρτερὸς εἴη,
Πλὰν ἑνός· οὐκ ἀλέγω, μή μοι κενεὰν ἀπομάξῃς.

88. ΠΛΑ. Ἤγουν Δωρίζουσαι πάντα. τὸ γὰρ πλατυάσδοισαι, τοιοῦτόν ἐστιν. οἱ γὰρ Δωριεῖς πλατυστομοῦσι τὸ α πλεονάζοντες. ἐκκναισεῦντι δὲ, ἀντὶ τοῦ διαλέγουσιν.

88. Pro ἐκκναισεῦντι legit Heinsius ἐκ ναύσοιο. ναῦσος et νᾶσος Dorum est, qui ita vocabant Σικελίαν.

92. ΠΕΛ. Ἀντὶ τοῦ κατὰ τοὺς Πελοποννησίους. τὴν γὰρ Πελοπόννησον ᾤκησαν οἱ Δωριεῖς οἱ σὺν Ἡρακλείδαις.

Ibid. Πελοπονναυσιστὶ legit Heinsius.

94. ΜΕΛ. Μελιτῶδες δὲ τὴν Περσεφόνην φησὶ κατ' ἀντίφρασιν, ὡς καὶ κόρην. διὰ τὸ τὰς ἑταίρας αὐτῆς καὶ τῆς Δήμητρος, μελισσας, λέγεσθαι.

95. Malè hoc interpretatur Scholiastes. Supra dixerat Gorgo Πασσάμενος ἐπίτασσε, *Eme ancillas quibus imperes*. Idem ista innuit: Qui servos habent, cum illis os percidere volunt, imperant illis ut buccas sufflent, quas deinde illi palmis planis sonore batuunt per contumeliam et lasciviam. At tu mihi, inquit, imperare non potes, ut malas *sufflem*, quas tu alapis cædas: sed unum tantùm vereor, ne *vacuas* malas cædas. Itaque illud πλὴν ἑνὸς male conjungitur vulgò cum superiori versu. Unum tantùm timeo, inquit ne violentiam in nos exerceas, imperium in liberas non potes. Jos. Scaliger. Aliter vero D. Heinsius, qui Scholiastem secutus, ita locum exponit. "Quibus male volebant antiqui, aut "quos decipiebant, iis solebant mensuram, quâ aliquid affunde- "bant, ut puta τὴν χοίνικα ἀπομάττειν, id est, abstergere, ne vel "minimum darent ultra quam debebant. Hinc ἀπομάκτραι apud "Hesychium. Dicit igitur Praxinoë *non vereor, ne tu, qui mihi* "*nihil admetiris, mensuram abstergas*: i. e. *ne mihi noceas, qui nun-* "*quam prodesse potuisti*. Cum dicit κενεὰν, intelligit χοίνικα."

ΓΟΡΓΩ.

Digitized by Google

ΓΟΡΡΩ.

Σίγα, Πραξινόα· μέλλει τὸν Ἄδωνιν ἀείδειν
Ἃ τᾶς Ἀργείας Θυγάτηρ, πολυΐδρις ἀοιδός,
Ἄτις καὶ Σπέρχιν τὸν ἰάλεμον ἠρίσευσε·
Φθεγξεῖταί τι (σάφ' οἶδα) καλὸν· διαθρύπτεται ἤδη.
Δέσποιν', ἃ Γολγόν τε καὶ Ἰδάλιον ἐφίλασας,
Αἰπεινόν τ' Ἔρυκα, χρυσῷ παίσδοισ' Ἀφροδίτα,
Οἷόν τοι τὸν Ἄδωνιν ἀπ' ἀενάου Ἀχέροντος
Μηνὶ δυωδεκάτῳ μαλακαίποδες ἄγαγον Ὧραι.
Βάρδισαι μακάρων Ὧραι φίλαι, ἀλλὰ ποθειναὶ
Ἔρχοσθε, πάντεσσι βροτοῖσιν ἀεί τι φοροῦσαι.
Κύπρι Διωναία, τὺ μὲν ἀθανάταν ἀπὸ θνατᾶς
Ἀνθρώπων, ὡς μῦθος, ἐποίησας Βερενίκαν,
Ἀμβροσίαν ἐς ζῆθος ἀποζάξασα γυναικός.
Τὶν δὲ χαριζομένα πολυώνυμε καὶ πολύναε,
Ἃ Βερενικείᾳ θυγάτηρ, Ἑλένᾳ εἰκυῖα,
Ἀρσινόα, πάντεσσι καλοῖς ἀντιάλλει Ἄδωνιν.
Παὶρ μέν οἱ ὥρια κεῖται ὅσα δρυὸς ἄκρα φέρονθι,
Παὶρ δ' ἀπάλοὶ κᾶποι, πεφυλαγμένοι ἐν ταλαρίσκοις
Ἀργυρέοις, Συρίῳ δὲ μύρῳ χρύσει' ἀλάβαστρα.

98. Ialemus est genus cantilenæ lugubris, teste Apollodoro et aliis. *Casaub.*

100. ΓΟΛ. Γολγὸς πόλις Κύπρε, ὠνομασμένη ἀπὸ Γολγῦ τινος Ἀδώνιδος καὶ Ἀφροδίτης. Ἰδάλιον δὲ, πόλις καὶ αὐτὴ Κύπρε.

101. ΕΡΥ. Ἐρύξ, πόλις Σικελίας, ἀπὸ Ἔρυκος τῦ Βοιωτῦ καὶ Ἀφροδίτης. ΧΡΥ. Διὰ τύτε δηλοῖ, ὅτι οἱ ἐρῶντες χρυσῷ πείθυσι τὰς ἐρωμένας.

Ibid. Pro χρυσῷ παίζυσ' legit Scaliger χρυσοπίζυσ'.

107. ΒΕΡ. Βερενίκην δὲ λέγει, τὴν τῦ Σωτῆρος γυναῖκα, μαλίστα δὲ τῦ Φιλαδέλφυ καὶ Ἀρσινόης.

Εἰδαλά

Εἴδα]α θ' ὅσσα γυναῖκες ἐπὶ πλαθάνῳ πονέον]αι,
Ἄνθεα μίσγοισαι λευκῷ παντοῖ' ἅμ' ἀλεύρῳ
Ὅσσα τ' ἀπὸ γλυκερῷ μέλιτος, τά τ' ἐν ὑγρῷ ἐλαίῳ;
Πάντ' αὐτῷ πεπεηνὰ καὶ ἕρπετὰ τᾶδε πάρεστι.
Χλωραὶ δὲ σκιάδες, μαλακῷ βρίθουσαι ἀνήθῳ,
Δέδμανθ' οἱ δὲ τε κῶροι ὑπερποτόωνται Ἔρωτες,
Οἷοι ἀηδονιῆες ἐφεζόμενοι ἐπὶ δένδρων,
Πωτῶνται, πτερύγων πειρώμενοι, ὄζον ἀπ' ὄζω.
Ὦ ἔβενος, ὦ χρυσὸς, ὦ ἐκ λευκῶ ἐλέφαντος
Αἰετὼ, οἰνοχόον Κρονίδᾳ Διῒ πάϊδα φέροντες.
Πορφύρεοι δὲ τάπητες ἄνω, μαλακώτεροι ὕπνω
Ἃ Μίλατος ἐρεῖ, χὠ τὰν Σαμίαν πατάβοσκων.
Ἔρρωται κλίνα τῷ Ἀδώνιδι τῷ καλῷ ἀλλά·
Τὰν μὲν Κύπρις ἔχει, τὰν δ' ὁ ῥοδόπαχυς Ἄδωνις;
Ὀκτωκαιδεκέτης ἢ ἐννεακαίδεκ' ὁ γαμβρός.
Οὐ κεντεῖ τό φίλαμ', ἔτι οἱ περὶ χείλεα πυρρά·
Νῦν μὲν Κύπρις ἔχοισα τὸν αὐτῆς χαιρέτω ἄνδρα.
Ἄωθεν δ' ἄμμες νιν ἅμα δρόσῳ ἀθρόαι ἔξω.
Οἰσεῦμες ποτὶ κύματ' ἐπ' αἰόνι πτύοντα·
Λύσασαι δὲ κόμαν, καὶ ἐπὶ σφυρὰ κόλπον ἀνεῖσαι,
Στήθεσι φαινομένοις, λιγυρᾶς ἀρξώμεθ' ἀοιδᾶς.
Ἕρπεις, ὦ φίλ' Ἄδωνι, καὶ ἐνθάδε, κ' εἰς Ἀχέροντα;
Ἀμιθέων (ὡς φαντὶ) μονώτατος· ὔτ' Ἀγαμέμνων
Τὔτ' ἔπαθ', ὔτ' Αἴας ὁ μέγας βαρυμάνιος ἥρως,
Οὔθ' Ἕκτωρ Ἑκάβας ὁ γεραίτερος εἴκατι παίδων,

125. ΠΟΡ. Ὡς μαλακῶν ταπήτων ὑπεστρωμένων τῇ κλίνῃ τῆς Ἀφροδίτης. ὃς φησιν ὑπὸ τῆς Μιλήτε καὶ Σάμε ῥηθήσεσθαι, μαλακωθέρας ὕπνω, διὰ τὸ πας' αὐτοῖς εἰς κάλλος τὰ στρώματα γίνεσθαι.

Οὐ

Οὐ Παῖροκλῆς, ἢ Πύῤῥος ἀπὸ Τροίας ἐπανελθὼν, 140
Οὔθ' οἱ, ἔτι πρότεροι, Λαπίθαι, καὶ Δευκαλίωνες,
Οὐ Πελοπηϊάδαι τε, καὶ Ἄργεος ἄκρα Πελαργοί.
Ἴλαθι νῦν, Φίλ' Ἄδωνι, καὶ ἐς νέατ' εὐθυμήσαις,
Καὶ νῦν ἦνθες, Ἄδωνι, καὶ ὄκκ' ἀφίκῃ, Φίλος ἔξεις.
Πραξινόα, τὸ χρῆμα σοφώτερον. ἃ θήλεια 145
Ὀλβία ὅσσα ἴσασι, πανολβία, ὡς γλυκύφωνει!
Ὥρα ὅμως κ' εἰς οἶκον· ἀνάριος Διοκλείδας.
Χὠ νηὸ ὄξος ἅπαν· πεινάντί γε μηδὲ ποτένθῃς.
Χαῖρε, Ἄδων· ἀγαπατὲ, καὶ ἐς χαίρονλας ἀφικνεῦ.

141. ΔΕΥ. Ἀντὶ τῦ Δίυκαλίδαι. ἀπὸ Δευκαλίωνος Θεσσαλῦ· τύτων γὰρ ἐβασίλευσεν ὁ Δευκαλίων.

145. Ita distinguit Heinsius—σοφώτερον ἃ θήλεια.
Ὀλβία ὅσσα ἴσασι———

148. Legit Casaubonus μηδὲ φίλυθης. Seneca explicat de irâ lib. iii. "Vetus dictum est a lasso rixam quæri: æquè autem et "ab esuriente et a sitiente, et ab omni homine, quem aliqua res "urit." Vide et Plin. xxii. 34. *Casaub.* In hoc versu legit Heinsius μηδικὰ ἄλης.

ARGUMENTUM IDYLLII XVIII.

Inscribitur hoc Idyllion Epithalamion Helenæ, id est, carmen nuptiale Introduciuntur autem duodecim primariæ puellæ ex urbe Spartanâ, quæ in die nuptiarum vespere ante thalamum Menelai et Helenæ sponsæ hoc carmen canere fingunter.

ΕΛΕΝΗΣ ΕΠΙΘΑΛΑΜΙΟΣ.

Ἐν ποκ' ἄρα Σπάρτᾳ, ξανθότριχι πὰρ Μενελάῳ,
Παρθενικαὶ θάλλουσα κόμαις ὑάκινθον ἔχοισαι,

Πρέσβε νεογραπ[τ]ῶ θαλάμῳ χορὸν ἑσ[τ]άσαν[τ]ο,
Δώδεκα ταὶ πρᾶται πόλιος, μέγα χρῆμα Λακαινᾶν,
Ἀνίκα Τυνδάρεω κα[τ]εκλάξα[τ]ο τὰν ἀγαπα[τ]άν 5
Μνασ[τ]ήσας Ἑλέναν ὁ νεώτερος Ἀτρέος υἱός.
Ἄειδον δ' ἄρα πᾶσαι ἐς ἓν μέλος ἐγκροτέοισαι
Ποσσὶ περιπλέκ[τ]οις· περὶ δ' ἴαχε δῶμ' ὑμεναίῳ.
Οὕτω δὴ πρωΐζα καθέδραθες, ὦ φίλε γαμβρέ;
Ἦ ῥά τις ἐσσὶ λίαν βαρυγενέα[τ]ος; ἦ ῥα φίλυπνος; 10
Ἦ ῥα πολύν τιν' ἔπινες, ὅτ' εἰς εὐνὰν κα[τ]εβάλλευ;
Εὕδειν μὲν χρήζον[τ]α καθ' ὥραν αὐτὸν ἐχρὴν τύ,
Παῖδα δ' ἐᾷν σὺν παισὶ φιλοσ[τ]όργῳ παρὰ μα[τ]ρὶ
Παίσδειν ἐς βαθὺν ὄρθρον· ἐπεὶ καὶ ἔνας, καὶ ἐς ἀῶ,
Κἄς ἔτος ἐξ ἔτεος, Μενέλαε, τεὰ νυὸς ἦδε. 15
Ὄλβιε γάμβρ', ἀγαθός τις ἐπέπ[τ]αρεν ἐρχομένῳ τοι
Ἐς Σπάρταν, ὅποι ὦ ἄλλοι ἀρισ[τ]έες, ὡς ἀνύσαιο.
Μῆνος ἐν ἀμιθέοις Κρονίδαν Δία πενθερὸν ἐξεῖς.
Ζανός τοι θυγάτηρ ὑπὸ τὰν μίαν ὤχε[τ]ο χλαῖναν,
Οἵα Ἀχαιϊάδων γαῖαν πατεῖ ἀδεμί' ἄλλα. 20
Ἦ μέγα τοί κε τέκοιτ', εἰ ματέρι τίκ[τ]εν ὁμοῖον.
Ἄμμες γὰρ πᾶσαι συνομάλικες, ἧς δρόμος ὠυτὸς,
Χρισαμέναις ἀνδρισὶ παρ' Εὐρώτᾳο λοε[τ]ροῖς,

5. Καλακλάξαι] Doribus vox nuptialis est, sicut in Adoniazusis ἀποκλάξαι. *Heins.*

8 Ποσσί] In quodam codice reperit Casaub. χερσὶ, nec male. Ibid. Περιπλέκτοις, in orbem saltantibus. *Idem.*

12. Pro καθ' ὥραν αὐτὸν legit Heins. καθ' ὥραν εὕδειν infinit. Doric.

17. Ἀνύσαιο.] Ἀνύειν τὸ βραβεῖον dicunt, è victoriâ præmium reportare. *Heins.*

Τε[τ]ράκις

Τετράκις ἑξήκοντα κόραι, θῆλυς νεολαία·
Τᾶν οὐδ' ἄν τις ἄμωμος, ἐπεί χ' Ἑλένᾳ παρισωθῇ.
Ἀὼς ἀντέλλοισα καλὸν διέφαινε πρόσωπον,
Πότνια νὺξ ἅτε, λευκὸν ἔαρ χειμῶνος ἀνέντος.
Ὧδε καὶ ἁ χρυσέα Ἑλένα διεφαίνετ' ἐν ἁμῖν,
Πιείρᾳ μεγάλα ἅτ' ἀέδραμε κόσμος ἀρούρᾳ,
Ἢ κάπῳ κυπάρισσος, ἢ ἅρματι Θεσσαλὸς ἵππος·
Ὧδε καὶ ἁ ῥοδόχρως Ἑλένα Λακεδαίμονι κόσμος.
Οὔτέ τις ἐν ταλάρῳ πανίσδεται ἔργα τοιαῦτα,
Οὔτ' ἐνὶ δαιδαλέῳ πυκινώτερον ἄτριον ἱστῷ
Κερκίδι συμπλέξασα μακρῶν ἔταμ' ἐκ κελεόντων.
Οὐ μὰν οὐ κιθάραν τις ἐπίσταται ὧδε κροτῆσαι,
Ἄρτεμιν ἀείδοισα καὶ εὐρύστερνον Ἀθάναν,
Ὡς Ἑλένα· τᾶς πάντες ἐπ' ὄμμασιν ἵμεροι ἐντί·
Ὦ καλὰ, ὦ χαρίεσσα κόρα, τὺ μὲν οἰκέτις ἤδη·
Ἄμμες δ' ἐς δρόμον ἦρι καὶ ἐς λειμώνια φύλλα
Ἐρψοῦμες, στεφάνως δρεψεύμεναι ἁδὺ πνέοντας·
Πολλὰ τεοῦς, Ἑλένα, μεμναμέναι, ὡς γαλαθηναὶ
Ἄρνες γειναμένας ὄϊος μαστὸν ποθέοισαι·
Πρᾶτᾳ τοι στέφανον λωτῶ χαμαὶ αὐξομένοιο
Πλέξασαι, σκιερὰν καταθήσομεν ἐς πλατάνιστον·
Πρᾶτᾳ δ', ἀργυρέας ἐξ ὄλπιδος ὑγρὸν ἄλειφαρ
Λασδόμεναι, σταξεῦμες ὑπὸ σκιερὰν πλατάνιστον.
Γραμματα δ' ἐν φλοιῷ γεγράψεται (ὡς παριών τις
Ἀννείμῃ) Δωριστὶ, Σέβου μ'· Ἑλένας φυτὸν εἰμί.

27. Fotasse legendum, Πότνια νύξ ὅτε λήγει, Casaub.
34. Pro ἔταμ' legit Jos. Scaliger ἔκαμ' Pro καλεόντων legit Casaub. κελεόντων. κελέοντες enim sunt ἱστόποδες.

Χαίροις, ὦ νύμφα, χαίροις, εὐπέπλυτε γαμβρέ·
Λατὼ μὲν δοίη, Δατὼ κεροβρόφος, ὔμμιν
Εὐτεκνίαν· Κύπρις δέ, θεὰ Κύπρις, ἴσον ἔρασθαι
Ἀλλάλων· Ζεὺς δὲ, Κρανίδας Ζεὺς, ἄφθιτον ὄλβον,
Ὡς ἐξ εὐπατριδᾶν εἰς εὐπατρίδας πάλιν ἔνθῃ.
Νεύμεθα κἄμμες ἐς ὄρθρον, ἐπεί και πρᾶτος ἀοιδὸς
Ἐξ εὐνᾶς κελαδήσῃ ἀνασχὼν εὔτριχα δειρήν.
Ὕμὰν, ὦ Ὑμέναιε, γάμῳ ἐπὶ τῷδε χαρείης.

56. Ἐς ὄρθρον] Absoluto hoc carmine καλλακοιμηλικῷ, promittunt se redituras, ut διγυιριτικὸν modulentur. *Heins.*

ΚΗΡΙΟΚΛΕΠΤΗΣ,

Εἰδύλλιον ιθ'.

Τὸν κλέπταν ποτ' Ἔρωτα κακὰ κέντρασε μέλισσα,
Κηρίον ἐκ σίμβλων συλεύμενον· ἄκρα δὲ χειρῶν
Δάκτυλα πάνθ' ὑπένυξεν· ὁ δ' ἄλγεε, καὶ χέρ' ἐφύσση,
Καὶ τὰν γᾶν ἐπάταξε, καὶ ἄλατο· τᾷ δ' Ἀφροδίτᾳ
Δεῖξεν τὰν ὀδύναν, καὶ μέμφετο ὅττι γε τυθὸν
Θηρίον ἐντὶ μέλισσα, καὶ ἀλίκα τραύματα ποιεῖ.
Καὶ μάτηρ γελάσασα, Τὺ δ' ἐκ ἴσον ἐσσὶ μελίσσαις;
Χὠ τυθὸς μὲν ἔης, τὰ δὲ τραύματα ἀλίκα ποιεῖς!

ARGU-

ARGUMENTUM IDYLLII XXIV.

Hoc Idyllion totum est διηγηματικόν. Primùm enim commemorat, quomodo Hercules puer decem tantùm natus menses, duos immani magnitudine dracones, nocturno tempore ut ipsum interficerent, immissos à Junone, manibus eliserit ac laceraverit. Deinde vaticinium Tiresiæ refertur. Sequitur postea pulchra distributio quibus præceptoribus Hercules quáque in arte usus fuerit. Ait Linum illi præceptorem in literarum ac doctrinæ studiis fuisse: ab Eumolpo verò Musicam ipsum didicisse: ab aliis porro belli artes, et rei militaris scientiam. Pars ultima, quá vitæ ac victus ratio exponitur, intercidit. Mancum itaque hoc Idyllion fine præciso habemus: Hoc Idyllion Moscho aut Bioni tribuunt nonnulli.

ΗΡΑΚΛΕΙΣΚΟΣ.

Ἡρακλέα δεκάμηνον ἐόντα τοχ' ἁ Μιδεᾶτις
Ἄλκμήνα, καὶ νυκτὶ νεώτερον Ἰφικλῆα,
Ἀμφοτέρως λέσασα καὶ ἐμπλήσασα γάλακτος,
Χαλκείαν κατέθηκεν ἐπ' ἀσπίδα, τὰν Πτερελάου
Ἀμφιτρύων καλὸν ὅπλον ἀπεσκύλευσε τεσόντος. 5
Ἀπλαμένα δὲ γυνὰ κεφαλᾶς μυθήσατο παίδων·
Εὕδετ', ἐμὰ βρέφεα, γλυκερὸν καὶ ἐγέρσιμον ὕπνον·
Εὕδετ', ἐμὰ ψυχά, δύ' ἀδελφεώ, εὔσοα τέκνα,
Ὄλβιοι εὐνάζοισθε, καὶ ἄλβιοι ἀῶ ἴκοισθε.
Ὡς φαμένα δίνασε σάκος μέγα· τὰς δ' ἔλαβ' ὕπνος. 10
Ἄμος δὲ τρέφεται μεσονύκτιον ἐς δύσιν ἄρκτος
Ὠρίωνα κατ' αὐτὸν, ὁ δ' ἀμφαίνει μέγαν ὦμον·
Τᾶμος ἄρ' αἰναὶ τέλωρα δύω πολυμήχανος Ἥρη
Κυανέαις

Κυνέαις φρίσσοντας ὑπὸ σπείραισι δράκοντας
Ὧρσεν ἐπὶ πλατὺν ἐδὸν, ὅθι ςαθμὰ κοῖλα θυραίων
Οἴκω· ἀπειλήσασα φαγεῖν βρέφος Ἡρακλῆα.
Τὼ δ' ἐξειλυσθέντες ἐπὶ χθονὶ γαςέρας ἄμφω
Αἱμοβόρως ἐκύλιον· ἀπ' ὀφθαλμῶν δὲ κακὸν πῦρ
Ἐρχομένοις λάμπεσκε, βαρὺν δ' ἐξέπλυεν ἰόν·
Ἀλλ' ὅτε δὴ παίδων λιχμώμενοι ἐγγύθεν ἦνθον,
Καὶ τότ' ἄρ' ἐξέγροντο (Διὸς νοέοντος ἄπαντα)
Ἀλκμήνας φίλα τέκνα· φάος δ' ἀνὰ οἶκον ἐτύχθη.
Ἦτοι ὁγ' εὐθὺς ἄϋσεν, ὅπως κακὰ θηρί' ἀνέγνω
Κοίλῃ ὑπὲρ σάκεος, καὶ ἀναιδέας εἶδεν ὀδόντας
Ἰφικλέης· ἕλαν δὲ ποσὶν διελάκιστε χλαῖναν,
Φευγέμεν ὁρμαίνων· ὁ δ' ἐναντίος εἶχέο χερσὶν
Ἡρακλέης· ἄμφω δὲ βαρεῖ ἐνεδήσατο δεσμῷ,
Δραξάμενος φάρυγος, ὅθι φάρμακα λυγρὰ τέτυκται
Οὐλομένοις ὀφίεσσι, τὰ καὶ θεοὶ ἐχθαίρουσι.
Τὼ δ' αὖτε σπείρῃσιν ἑλισσέσθην περὶ παῖδα
Οψίγονον, γαλαθηνὸν, ὑπὸ τροφῷ αἰὲν ἄδακρυν.
Ἂψ δὲ πάλιν διέλυον, ἐπεὶ μογέοιεν ἀκάνθας,
Δεσμῷ ἀναγκαίῳ πειρώμενοι ἔκλυσιν εὑρεῖν.
Ἀλκμήνα δ' ἐσάκουσε βοᾶς, καὶ ἐπέγρετο πρᾶτα.
Ἄνςαθ', Ἀμφιτρύων· ἐμὲ γὰρ δέος ἴσχει ὀκνηρὸν·
Ἄνςα, μηδὲ πόδεσσι τεοῖς ὑπὸ σάνδαλα θείης.
Οὐκ αἴεις παίδων ὁ νεώτερος ὅσσον ἀϋτεῖ;
Οὐ νοέεις ὅτι νυκτὸς ἀωρί πω οἵδε τοῖχοι
Πάντες ἀριφραδέες, καθαρᾶς ἄτερ ἠριγενείας;

19. Pro Ἐρχομένοις legit Pierſonus Δερκομένοις.

Ἔς-

Ἔστι τί μοι κατὰ δῶμα νεώτερον, ἦ φίλ' ἀνδρῶν.
Ὣς φάθ'· ὁ δ' ἐξ εὐνᾶς ἀλόχῳ καλέσαινε πιθήσας·
Δαιδάλεον δ' ὥρμησε μετὰ ξίφος, ὄρρ' οἱ ὕπερθε
Κλιντῆρος κεδρίνῳ περὶ πασσάλῳ αἰὲν ἄωρτο.
Ἦτοι ὅγ' ὠρμᾶτο νεοκλώστῳ τελαμῶνος,
Κεφίζων ἑτέρᾳ κολεὸν, μέγα λώτινον ἔργον.
Ἀμφιλαφὴς δ' ἄρα πασσὰς ἐνεπλήσθη πάλιν ὄρφνης.
Δμῶας δὴ τότ' ἄυσεν ὕπνου βαρὺν ἐκφυσῶσας,
Οἵσετε πῦρ ὅτι θᾶσσον ἀπ' ἐσχαρεῶνος ἐλόντες,
Δμῶες ἐμοὶ σκαιρὲς δὲ θυρᾶν ἀνακόψατ' ὀχῆας·
Ἄνσατε, δμῶες ταλασίφρονες· αὐτὸς αὔτει.
Οἱ δ' αἶψα προγένοντο λύχνοις ἅμα δαιομένοισι
Δμῶες· ἐνεπλήσθη δὲ δόμος σπεύδοντος ἑκάστου.
Ἦτοι ἄρ' ὡς εἶδον ἐπίτιθιον Ἡρακλῆα
Θῆρε δύω χείρεσσιν ἀπρὶξ ἀπαλαῖσιν ἔχοντα
Συμπλήγδην ἰάχησαν· ὁ δ' ἐς πατέρ' Ἀμφιτρύωνα
Ἕρπετα δεισανάεσσεν· ἐπάλλετο δ' ὑψόθι χαίρων
Κωφοσύνᾳ· γελάσας δὲ, πάρος καλέεσθαι ποδοῖιν
Παῖρος ἑῷ θανάτῳ κεκαρωμένα δεινὰ πέλωρα.
Ἄλκμήνα μὲν ἔπειτα ποτὶ σφέτερον βάλε κόλπον
Ἥρην ὑπαὶ δείμις ἀκραχόλον Ἰφικλῆα.
Ἀμφιτρύων δὲ τὸν ἄλλον ὑπ' ἀμφιέαν θέτο χλαῖναν
Παῖδα· πάλιν δ' ἐς λέκτρον ἰὼν ἐμνάσατο κοίτου.
Ὄρνιχες τρίτατον ἄρτι τὸν ἔσχατον ὄρθρον ἄειδον·
Τειρεσίαν τόκα μάντιν, ἀλαθέα πάντα λέγοντα,

33. Δισμὸς ἀναγκαῖος, vinculum moleſtum, durum, et horrendum, ἀναγκαῖον domus erat ubi vincti aſſervabantur. Heſych. ἀναγκαῖον, δισμωτήριον. *Dan. Heinſius.*

Ἄλκμήνα

Ἀλκμήνα καλέσασα, χρέος κατέλεξε νεοχμὸν;
Καί νιν ὑποκρίνεσθαι ὅπως τελέεσθαι ἔμελλεν
Ἠνώγει· μηδ', εἴ τι θεοὶ νοέοιντο πονηρὸν,
Αἰδόμενος ἐμὲ κρύπτε. καὶ ὡς ὐκ ἔςιν ἀλύξαι
Ἀνθρώποις ὅ, τι μοῖρα κατὰ κλωςῆρος ἐπείγει
Μάντ' Εὐηρείδα, μάλα σε φρονέοντα διδάσκω.
Τὼς ἔλεγεν βασίλεια· ὁ δ' ἀνταμείβετο τοίως.
Θάρσει, ἀριςοτόκεια γύναι, Περσήϊον αἷμα.
Ναὶ γὰρ ἐμὸν γλυκὺ φέγγος ἀποιχόμενον πάλαι ὅσσων,
Πολλαὶ Ἀχαιϊάδων μαλακὸν περὶ γούνατι νῆμα
Χειρὶ κατατρίψοντι, ἀκρέσπερον ἀείδοισαι
Ἀλκμήναν ὀνομαςί· σέβας δ' ἔσῃ Ἀργείαισι.
Τοῖος ἀνὴρ ὅδε μέλλει ἐς ὐρανὸν ἄςρα φέροντα
Ἀμβαίνειν, τεὸς υἱὸς, ἀπὸ ςέρνων πλατὺς ἥρως.
Οὗ καὶ θηρία πάντα καὶ ἀνέρες ἥσσονες ἄλλοι.
Δώδεκά οἱ τελέσαντι πεπρωμένον ἐν Διὸς οἰκῆν
Μόχθυς· θνητὰ δὲ πάντα πυρὰ Τραχίνιος ἑξεῖ.
Γαμβρὸς δ' ἀθανάτων κεκλήσεται, οἳ τάδ' ἐπώρσαν
Κνώδαλα φωλεύοντα βρέφος διαδηλήσασθαι.
Ἔςαι δὴ τοῦτ' ἆμαρ, ὁπανίκα νεβρὸν ἐν εὐνᾷ
Καρχαρόδων σίνεσθαι ἰδὼν λύκος ὐκ ἐθελήσει.
Ἀλλὰ, γύναι, πῦρ μέν τοι ὑπὸ σποδῷ εὔτυκον ἔςω,
Κάγκανα δ' ἀσπαλάθω ξύλ' ἑτοιμάσατ', ἢ παλιούρω,
Ἢ βάτω, ἢ ἀνέμῳ δεδονημένον αὖον ἄχερδον·
Καῖε δὲ τώδ' ἀγρίαισιν ἐπὶ σχίζαισι δράκοντε

68. Καὶ ὡς ὐκ ἔςιν] Impedita est hæc sententia, cui subesse videtur menda.

83. Pro διαδηλήσασθαι forsan legendum διαδηλώσασθαι.

Νυκτὶ

Νυκλὶ μέσᾳ, ὅκα παῖδα κανῆν τεὸν ἤθελον αὐτεί.
Ἤρι δὲ συλλέξασα κόνιν πυρὸς ἀμφιπόλων τὶς,
Ῥιψάτω εὖ μάλα πᾶσαν ὑπὲρ σταμοῖο φέροισα,
Ῥωγάδας ἐς πέτρας, ὑπὲρ ἤριον· ἀὴ δὲ νέεσθαι
Ἄσρεπλος· καθαρῷ δὲ πυρώσαλε δῶμα θεείῳ
Πρᾶτον· ἔπειλα δ' ἄλεσσι μεμιγμένον (ὡς νενόμισαι)
Θαλλῷ ἐπιῤῥαίνειν ἐσεμμένον ἀβλαβὲς ὕδωρ·
Ζηνὶ δ' ἐπιῤῥέξαι καθυπερτέρῳ ἄρσενα χοῖρον·
Δυσμενέων αἰεὶ καθυπέρλεροι ὡς τελέθοιλε.
Φᾶ, καὶ ἐρωήσας ἐλεφάνλινον ὤχελο δίφρον
Τειρεσίας, πολλοῖσι βαρὺς περ ἐὼν ἐνιαυλοῖς.
Ἡρακλέης δ' ὑπὸ μαλρὶ, νέον φυτὸν ὡς ἐν ἀλωᾷ,
Ἐτρέφετ', Ἀργείω κεκλημένος Ἀμφιτρύωνος.
Γράμμαλα μὲν τὸν παῖδα γέρων Λίνος ἐξεδίδαξεν,
Υἱὸς Ἀπόλλωνος, μελεδωνεὺς, ἄγρυπνος ἥρως·
Τόξον δ' ἐνλανύσαι καὶ ἐπὶ σκοπὸν εἶναι οἰςὸν,
Εὔρυλος, ἐκ παλέρων μεγάλαις ἀφνειὸς ἀρέραις.
Αὐτὰρ ἀοιδὸν ἔθηκε καὶ ἄμφω χεῖρας ἔπλασσεν
Πυξίνᾳ ἐν φόρμιγλι Φιλαμμονίδας Εὔμολπος.
Ὅσσα δ' ἀπὸ σκελέων ἐδροσρόφοι Ἀργόθεν ἄνδρες
Ἀλλάλως σφάλλονλι παλαίσμασιν, ὅσσάτε πύκλαι
Δεινοὶ ἐν ἱμάντεσσιν, ἅ τ', εἰς γαῖαν πεπεσόνλες
Πυγμάχοι ἐξεύρονλο παλαίσμαλα σύμφορα τέχνᾳ,
Πάντ' ἔμαθ' Ἑρμείαο διδασκόμενος παρὰ παιδὶ
Ἀρπαλύκῳ Φανοτῆι· τὸν ὄδ' ἂν τηλόθι λεύσσων

105. Ἐπὶ σκοπὸν εἶναι.] Ita legendum videtur ex ingeniosa emendatione Dan. Heinsii: cum antea legeretur ἐπίσκοπον εἶναι.

Θαρσαλέως τις ἔμεινεν ἀεθλεύοντ' ἐν ἀγῶνι·
Τοῖον ἐπισκύμιον βλοσυρῷ ἐπέκειτο προσώπῳ.
Ἵππους δ' ἐξελάσασθαι ὑφ' ἅρμασι, καὶ, περὶ κύσσαν
Ἀσφαλέως κάμπλοια, τροχῷ σύριγγα φυλάξαι,
Ἀμφιρύων ὃν παῖδα φίλα φρονέων ἐδίδασκεν
Αὐτός· ἐπεὶ μάλα πολλὰ θοῶν ἐξήρατ' ἀγώνων
Ἄργει ἐν ἱπποδρόμῳ κειμήλια· καὶ οἱ ἀοιδοῖς
Δίφροι, ἐφ' ὧν ἐτέλεσσε, χρόνῳ διέλυσαν ἱμάντας.
Δύραλι δὲ προζολαίῳ, ὑπ' ἀσπίδι νῶτον ἔχουσα,
Ἀνδρὸς ὀρέξασθαι, ξιφέων τ' ἀνέχεσθαι ἀμυχμόν,
Κασμῆσαί τε φάλαγγα, λόχον τ' ἀναμερίσασθαι
Δυσμενέων ἐπιόντα, καὶ ἱππήεσσι κελεῦσαι,
Κάσωρ ἱππαλίδας ἔδαεν, φυγὰς Ἄρχεος ἐνθὼν,
Ὀπποκλάρου ἄπαυλα καὶ οἰνόπεδον μέγα Τυδεὺς
Νάϊε, παρ' Ἀδρήστοιο λαβὼν ἱππήλασιν Ἄρχας.
Κάσορι δ' ὅττις ὁμοῖος ἐν ἀμιθέοις πολεμιστὴς;
Ἄλλος ἔην, πρὶν γῆρας ἀποτρίψαι νεότητα.
Ὧδε μὲν Ἡρακλῆα φίλα παιδεύσατο μάτηρ·
Εὐνὰ δ' ἧς τῷ παιδὶ τετυγμένα ἀγχόθι πολλὸς
Δέρμα λεόντειον, μάλα οἱ κεχαρισμένον αὐτῷ.
Δεῖπνον δὲ, κρέατ' ὀπλὰ, καὶ ἐν κανέῳ μέγας ἄρτος
Δωρικός· ἀσφαλέως κε φυτοσκάφον ἄνδρα κορέσσαι.
Αὐτὰρ ἐπ' ἄματι τυννὸν ἄνευ πυρὸς αἴνυτο δόρπον.
Εἵματα δ' ἐκ ἀσκητὰ μέσας ὑπὲρ ἔκνυτο κνάμας.

121. Καί οἱ.] Forsan legendum κ' ἔ οἱ.

136. Δωρικός.] Voluerunt veteres Critici panem Doricum similem fuisse Atticorum πελάνῳ, vilem, et quo se operarii explebant. Sic Glossa Apollonii. *Dan. Heins.*

Ἐκ

Ἐκ τοῦ ΕΙΔΥΛΛΙΟΥ κέ.

Ἡρακλῆς τὸν τοῦ ἐν Νεμέῃ Λέοντος φόνου τῷ Φυλεῖ ἐκδιηγεῖται.

ΤΟΝ μὲν ἐμοὶ πρώτιστα τελεῖν ἐπέταξεν ἄεθλον
Εὐρυσθεύς· κτεῖναι δέ μ' ἐφίετο θηρίον αἰνόν.
Αὐτὰρ ἐγὼ κέρας ὑγρὸν ἑλὼν, κοίλην τε φαρέτραν
Ἰῶν ἐμπλείην, νεόμην· ἑτέρῃφι δὲ βάκτρον
Εὐπαγὲς, αὐτόφλοιον ἐπηρεφέος κοτίνοιο,
Εὐμετρόν· τὸ μὲν αὐτὸς, ὑπὸ ζαθέῳ Ἑλικῶνι
Εὑρὼν, σὺν πυκινῇσιν ὁλοσχερὲς ἔσπασα ῥίζῃς.
Αὐτὰρ ἐπεὶ τὸν χῶρον, ὅπῃ λῖς ἦεν, ἵκανον,
Δὴ τότε τόξον ἑλὼν, στρεπτῇ ἐπέλασσα κορώνῃ
Νευρειὴν, περὶ δ' ἰὸν ἐχέστονον εἶθαρ ἔβησα.
Πάντῃ δ' ὄσσε φέρων, ὀλοὸν τέρας ἐσκοπίαζον,
Εἴ μιν ἐσαθρήσαιμι, παρός γ' ἐμὲ κεῖνον ἰδέσθαι.
Ἤματος ἦν τὸ μεσηγύ· καὶ οὐδέπῃ ἴχνια τοῖο
Φρασθῆναι δυνάμην, οὐδ' ὠρυθμοῖο πυθέσθαι.
Οὐδὲ μὲν ἀνθρώπων τις ἔην ἐπὶ βουσὶ καὶ ἔργοις
Φαινόμενος σπορίμοιο δι' αὔλακος, ὅντιν' ἐροίμην·
Ἀλλὰ κατὰ σταθμοὺς χλωρὸν δέος εἶχεν ἕκαστον.
Οὐ μὴν πρὶν πόδας ἔσχον, ὄρος τανύφυλλον ἐρευνῶν,
Πρὶν ἰδέειν, ἀλκῆς τε παραυτίκα πειρηθῆναι.
Ἤτοι ὁ μὲν σήραγγα προδείελος ἔστιχεν εἰς ἣν,
Βεβρωκὼς κρειῶν τε καὶ αἵματος· ἀμφὶ δὲ χαίτας
Αὐχμηρὰς πεπάλακτο φόνῳ, χαροπόν τε πρόσωπον,

Στήθεά τε· γλώσσῃ δὲ περιλιχμᾶτο γένειον.
Αὐτὰρ ἐγὼ θάμνοισιν ἅμα σκιεροῖσιν ἐκρύφθην,
Ἐν ῥίῳ ὑλήεντι, δεδεγμένος ὁππόθ' ἵκοιτο.
Καὶ βάλον ἄσσον ἰόντος ἀριστερὸν εἰς κενεῶνα
Τηῦσίως, ὑ γάρ τι βέλος διὰ σαρκὸς ὄλισθεν
Ὀκρυόεν, χλωρῇ δὲ παλίσσυτον ἔμπεσε ποίῃ.
Αὐτὰρ ὁ κρᾶτα δαφοινὸν ἀπὸ χθονὸς ὦκ' ἐπάειρεν
Θαμβήσας, πάντῃ δὲ διέδραμεν ὀφθαλμοῖσι
Σκεπτόμενος, λαμυρὲς δὲ χανὼν ὑπέδειξεν ὀδόντας.
Τῷ δ' ἐγὼ ἄλλον ὀϊστὸν ἀπὸ νευρῆς προΐαλλον,
Ἀσχαλόων ὅτι μοι πρὶν ἐτώσιος ἔκφυγε χειρός.
Μεσσηγὺς δ' ἔβαλον ςηθέων, ὅθι πνεύμονος ἕδρα.
Ἀλλ' ὑδ' ὡς ὑπὸ βύρσαν ἐδὺ πολυώδυνος ἰός.
Ἀλλ' ἔπεσε προπάροιθε ποδῶν ἀνεμώλιος αὖτως.
Τὸ τρίτον αὖ μέλλεσκον, ἀσώμενος ἐν φρεσὶν αἰνῶς,
Αὖ ἐρύειν· ὁ δέ μ' εἶδε περιγληνώμενος ὅσσοις
Θηρ ἄμοτος· μακρὴν δὲ παρ' ἰγνύῃσιν ἔλιξε
Κέρκον, ἄφαρ δὲ μάχης ἐμνήσατο· πᾶς δέ οἱ αὐχὴν
Θυμῷ ἐνεπλήσθη, πυρσαὶ δ' ἔφριξαν ἔθειραι
Σκυζομένῳ· κυρτὴ δὲ ῥάκις γένετ', ἠΰτε τόξον,
Πάντοθεν εἰλυσθέντος ὑπαὶ λαγόνας τε καὶ ἰξύν.
Ὡς δ' ὅταν ἁρματοπηγὸς ἀνὴρ, πολέων ἴδρις ἔργων,
Ὄρπηκας κάμπτῃσιν ἐρινεῷ εὐκεάτοιο,
Θάλψας ἐν πυρὶ πρῶτον ἐπαξονίῳ κύκλα δίφρῳ,
Τῷ μὲν ὑπ' ἐκ χειρῶν ἔφυγεν τανύφλοιος ἐρινεὸς
Καμπτόμενος, τηλῷ δὲ μιῇ πήδησεν ὑφ' ὁρμῇ·
Ὡς ἐπ' ἐμοὶ λῖς αἰνὸς ἀπόπροθεν ἀθρόος ἆλτο,

Μαιμώων

Μαιμώων χροὸς ἆσαι· ἐγὼ δ' ἑτέρῃφι βέλεμνα
Χειρὶ προεσχεθόμην, καὶ ἀπ' ὤμων δίπλακα λώπην·
Τῇ δ' ἑτέρῃ ῥόπαλον κόρσης ὕπερ αὖον ἀείρας,
Ἤλασα κακκεφαλῆς· διὰ δ' ἄνδιχα τρηχὺν ἔαξα
Αὐτοῦ ἐπὶ λασίοιο καρήατος ἀγριέλαιον
Θηρὸς ἀμαιμακέτοιο· πέσεν δ' ὄγε, πρὶν ἔμ' ἱκέσθαι,
Ὑψόθεν ἐν γαίῃ, καὶ ἐπὶ τρομεροῖς ποσὶν ἔστη,
Νευσάζων κεφαλῇ· περὶ γὰρ σκότος ὄσσε οἱ ἄμφω
Ἦλθε, βίῃ σεισθέντος ἐν ὀστέῳ ἐγκεφάλοιο.
Τὸν μὲν ἐγὼν ὀδύναισι παραιφρονέοντα βαρείαις
Νωσάμενος, πρὶν αὖθις ὑπότροπον ἀμπνευθῆναι,
Αὐχένος ἀῤῥήκτοιο παρ' ἰνίον ἤλασα προφθὰς,
Ῥίψας τόξον ἔραζε πολύῤῥαπτόν τε φαρέτρην.
Ἦγχον δ' ἐγκρατέως, σιβαρὰς σὺν χεῖρας ἐρείσας
Ἐξόπιθεν, μὴ σαρκὸς ἀποδρύψῃ ὀνύχεσσι.
Πρὸς δ' οὖδας πτέρνῃσι πόδας στερεῶς ἐπίεζον
Οὐραίους ἐπιβάς· πλευρῇσί τε μῆρ' ἐφύλασσον,
Μέχρις οἱ ἐξετάνυσσα βραχίονας, ὀρθὸν ἀείρας
Ἄπνευστον· ψυχὴν δὲ πελώριον ἔλλαχεν ᾅδης.
Οὗτός τοι Νεμέου γένετ', ὦ φίλε, θηρὸς ὄλεθρος,
Πολλὰ πάρος μήλοις τε καὶ ἀνδράσι πήματα θέντος.

ΕΠΙΓΡΑΜ-

ΕΠΙΓΡΑΜΜΑΤΑ.

α'.

Τᾶ ῥόδα τὰ δροσόεντα, καὶ ἃ κατάπυεν ἐκεῖνα
Ἑρπυλλος κεῖται ταῖς Ἑλικωνιάσι.
Ταὶ δὲ μελάμφυλλοι δάφναι τίν, Πύθιε Παιάν·
Δελφὶς ἐπεὶ πέτρα τοῦτό τοι ἀγλαΐσε.
Βωμὸν δ' αἱμάσσει κεραὸς τράγος ἔτος ὁ μαλός,
Τερμίνθω τρώγων ἔσχατον ἀκρέμονα.

Α Λ Α Ο.

Τήιαν τὰν λαύραν τῶς αἱ δρύες, αἰπόλε, κάμψας,
Σύκινον εὑρήσεις ἀρτιγλυφὲς ξόανον.
Σακὸς δ' εὖ ἱερὸς περιδέδρομεν· ἄενναον δὲ
Ῥεῖθρον ἀπὸ σπιλάδων πάντοσε τηλεθάει
Δάφναις, καὶ μύρτοισι, καὶ εὐώδει κυπαρίσσῳ·
Ἔνθα πέριξ κέχυται βοτρυόπαις ἕλικι
Ἄμπελος· εἰαρινοὶ δὲ λιγυφθόγγοισιν ἀοιδαῖς
Κόσσυφοι ἀχεῦσιν ποικιλότραυλα μέλη·
Ξυθαὶ ἀηδονίδες μινυρίσμασιν ἀνταχεῦσι,
Μέλπουσαι σόμασιν τὰν μελίγηρυν ὄπα.
Ἔζεο δὴ τηνεῖ, καὶ τῷ χαρίεντι Πριήπῳ
Εὔχε' ἀποσέρξαι τὰς Δάφνιδός με πόθους·
Κἤνθυς ἐπιῤῥέξειν χίμαρον καλόν· ἢν δ' ἀνανεύσῃ,

Τῆδε

Τοῦδε τυχὼν ἐθέλω τρισσὰ θύη τελέσαι.
Ῥέξω γὰρ δαμάλαν, λάσιον τράγον, ἄρνα τὸν ἴσχω
Σακίταν· αἰοὶ δ' εὐμενέως ὁ θεός.

ἌΛΛΟ. ἑ.

Λῆς, ποτὶ τᾶν νυμφᾶν, διδύμοις αὐλοῖσιν ἀεῖσαι
Ἁδύ τι μοι; κἠγὼν πακτίδ' ἀειράμενος
Ἄρξεῦμαί τι κρέκειν· ὁ δὲ βωκόλος ἄμμιγα θελξεῖ
Δάφνίς, κηροδέτῳ πνεύματι μελπόμενος.
Ἐγγὺς δὲ ςάντες λασίας δρυὸς ἄντρυ ὄπισθεν,
Πᾶνα τὸν αἰγιβόταν ὀρφανίσωμες ὕπνυ.

ἌΛΛΟ. ϛ'.

Ἄ δείλαιε τὺ Θύρσι· τί τὸ πλέον, εἰ καταταξεῖς
Δάκρυσι διγλήνυς ὦπας ὀδυρόμενος;
Οἴχεται ἁ χίμαρος τὸ καλὸν τέκος, οἴχετ' ἐς ᾅδαν·
Τραχὺς γὰρ χαλαῖς ἀμφεπίαξε λύκος.
Αἱ δὲ κύνες κλαγγεῦντι· τί τὸ πλέον, ἁνίκα τήνας
Ὀςέον ὐδὲ τέφρα λείπεται οἰχομένας;

ἘΠΙΤΑ'ΦΙΟΝ ὌΡΘΩΝΟΣ. ἡ.

Ξεῖνε, Συρηκόσιός τοι ἀνὴρ τόδ' ἐφίεται Ὄρθων,
Χειμερίης μεθύων μηδαμὰ νυκτὸς ἴοις.
Καὶ γὰρ ἐγὼ τοιοῦτον ἔχω πότμον· ἀντὶ δὲ πολλᾶς
Πατρίδος ὀθνείην κεῖμαι ἐφεσσάμενος.

Εἰς

Εἰς ΑΓΑΛΜΑ τῆς οὐρανίας Ἀφροδίτης. ιγ'.

Ἡ Κύπρις ὁ πάνδημος· ἱλάσκεο τὴν θεὸν εἰπὼν
Οὐρανίαν, ἁγνᾶς ἄνθεμα Χρυσογόνας
Οἴκῳ ἐν Ἀμφικλέος, ᾧ καὶ τέκνα καὶ βίον εἶχε
Ξυνόν· ἀεὶ δέ σφιν λώϊον εἰς ἔτος ἦν
Ἐκ σέθεν ἀρχομένοις· ὦ πότνια· κηδόμενοι γὰρ
Ἀθανάτων αὐτοὶ πλεῖον ἔχουσι βροτοί.

ΕΠΙΤΑΦΙΟΝ ΕΥΡΥΜΕΔΟΝΤΟΣ. ιδ'.

Νήπιον υἱὸν ἔλειπες, ἐν ἀλικίᾳ δὲ καὶ αὐτὸς,
Εὐρύμεδον, τύμβῳ τῷδε θανὼν ἔτυχες,
Σοὶ μὲν ἕδρα θειοῖσι μετ' ἀνδράσι· τὸν δὲ πολῖται
Τιμασεῦντι, πατρὸς μνώμενοι ὡς ἀγαθοῦ.

Εἰς τὸ ΑΤΤΟ'. ιέ.

Γνώσομαι εἴ τι νέμεις ἀγαθοῖς πλέον, ἢ καὶ ὁ δειλὸς
Ἐκ σέθεν ὡσαύτως ἶσον, ὁδοιπόρ', ἔχει.
Χαιρέτω ἕτος ὁ τύμβος, ἐρεῖς· ἐπεὶ Εὐρυμέδοντος
Κεῖται τῆς ἱερῆς κῶφος ὑπὲρ κεφαλῆς.

Εἰς ΙΠΠΩΝΑΚΤΑ. κά.

Ὁ μεσοποιὸς ἐνθάδ' Ἱππώναξ κεῖται.
Εἰ μὲν πονηρὸς, μὴ πατέρχευ τῷ τύμβῳ·
Εἰ δ' ἐσσὶ κρήγυός τε καὶ παρὰ χρηστῶν,
Θαρσέων καθίζευ· κἢν θέλῃς, ἀπόβριζον.

ΚΑΛΛΙ-

Digitized by Google

ΚΑΛΛΙΜΑΧΟΥ ΚΥΡΗΝΑΙΟΥ

ΥΜΝΟΣ εἰς τὸν ΔΙΑ.

Callimachus, *Cyrenæus, Libys, Grammaticus, et Poeta insignis, literas primò docuit in vico Alexandriæ; postea a* Ptolemæo Philadelpho *accitus in Musæum quod Alexandriæ dicaverat, magnoque ibi in honore habitus, circiter annum ante Christum* 250. *Fabric. Bibl. Græc.* ii. 479.

ΗΝΟΣ ἔοι τί κεν ἄλλο παρὰ σπονδῆσιν ἀείδειν
Ζ Λώϊον, ἢ θεὸν αὐτὸν, ἀεὶ μέγαν αὐὲν ἄνακτα,
Πηλογόνων ἐλατῆρα, δικασπόλον ὑρανίδησι;
Πῶς καὶ νιν, Δικταῖον ἀείσομεν, ἠὲ Λυκαῖον;
Ἐν δοιῇ μάλα θυμὸς· ἐπεὶ γένος ἀμφήριζον. 5
Ζεῦ, σὲ μὲν Ἰδαίοισιν ἐν ὄρεσι φασὶ γενέσθαι,
Ζεῦ, σὲ δ' ἐν Ἀρκαδίῃ· πότεροι, πάτερ, ἐψεύσαντο;
Κρῆτες ἀεὶ ψεῦσαι· καὶ γὰρ τάφον, ὦ ἄνα, σεῖο

3. Πηλογόνων.] Τῶν Γιγάντων, παρὰ τὸ ἐκ πηλοῦ γενέσθαι, τετέστι τῆς γῆς. *Schol.*

8. Ἐν Κρήτῃ ἐπὶ τῷ τάφῳ τοῦ Μίνως ἐπιγέγραπται, "Μίνως τοῦ Διὸς τάφος." τῷ χρόνῳ δὲ τὸ, "Μίνως," ἀπηλείφθη· ὥστε περιλειφθῆναι, "Διὸς τάφος." Ἐκ τούτου ὃν λέγουσι Κρῆτες τὸν τάφον τοῦ Διὸς ἔχειν. *Schol.*

Digitized by Google

Κρῆτες ἐτεκμηναντο· σὺ δ' ὔ θάνες· ἐσσὶ γὰρ αἰεί.
Ἐν δέ σε Παῤῥασίῳ Ῥείη τέκεν, ἦχι μάλιστα
Ἔσκεν ὄρος θαμνοισι πεπυκασμένον· ἔνθεν ὁ χῶρος
Ἱερός· οὐδέ τί μιν κεχρημένον Εἰλειθυίης
Ἕρπετὸν, οὐδὲ γυνὴ ἐπινίσσεται· ἀλλά ἑ Ῥείης
Ὠγύγιον καλέουσι λεχώϊον Ἀπιδανῆες.
Ἐνθά σ' ἐπεὶ μήτηρ μεγάλων ἀπεθήκατο κόλπων,
Αὐτίκα δίζητο ῥόον ὕδατος, ᾧ κε τόκοιο
Λύματα χυτλώσαιτο, πεὸν δ' ἐνὶ χρῶτα λοέσσαι.
Λάδων ἄλλ' ἄλλο μέγας ἔῤῥεεν, οὐδ' Ερύμανθος
Λευκότατος ποταμῶν, ἔτι δ' ἄβροχος ἦεν ἅπασα
Ἀρκαδίη· (μέλλεν δὲ μάλ' εὔυδρος καλέεσθαι
Αὖτις) ἐπεὶ τημόσδε, Ῥέη ὅτ' ἐλύσατο μίτρην,
Ἤ ποτὲ ἐφύπερθε σαρωνίδας ὑγρὸς Ἰάων
Ἤειρεν, πολλὰς δὲ Μέλας ὤχησεν ἀμάξας·
Πολλὰ δὲ Καρίωνος ἄνω, διερὸς πέρ ἐόντος,
Ἰλυὲς ἐβάλοντο κινώπεται· νίσσετο δ' ἀνὴρ
Πεζὸς ὑπὲρ Κρᾶθίν τε, πολύσιόν τε Μετώπην
Διψαλέος· τὸ δὲ πολλὸν ὕδωρ ὑπὸ ποσσὶν ἔκειτο.
Καί ῥ' ὑπ' ἀμηχανίης σχομένη φάτο πότνια Ῥείη,
Γαῖα φίλη, τέκε καὶ σύ· τεαὶ δ' ὠδῖνες ἐλαφραί.
Εἶπε, καὶ ἀνταναύσασα θεὰ μέγαν ὑψόθι πῆχυν,
Πλῆξεν ὄρος σκήπτρῳ· τὸ δὲ οἱ δίχα πελὺ διέσχη,
Ἐκ δ' ἔχεεν μέγα χεῦμα· τόθι χρόα φαιδρύνασα,
Ὤ νᾶ, πεὸν σπείρωσε. Νέδη δέ σε δῶκε κομίσσαι

10. Παῤῥασίῳ.] Ὄρος Ἀρκαδίας τὸ Παῤῥάσιον, ἀπὸ Παῤῥάσου τοῦ Λυκάονος. *Schol.*

14. Ἀπιδανῆες] Οἱ ἀρχαῖοι Ἀρκάδες. *Schol.*

26. Πολύσιον.] Τὸν πολύψηφον, καὶ πολυπάτητον. *Schol.*

Κευθμὸν

Κευθμῶν' ἐς Κρηταῖον, ἵνα κρύφα παιδεύοιο·
Οὐδ' αλίην ἀπέτισε θεὴ χάριν· ἀλλὰ τὸ χεῦμα
Κεῖνο Νέδην ὀνόμηνε· τὸ μέν ποθι πελὺ κατ' αὐτὸ
Καυκώνων πολίεθρον, ὃ Λέπριον πεφάτισαι,
Συμφέρεται Νηρῆϊ· παλαιότατον δέ μιν ὕδωρ
Υἱωνοὶ πίνεσι Λυκαονίης ἄρκτοιο.
Ζεῦ, σὲ δὲ Κυρβάντων ἕταραι προσεπηχύναντο
Δικταῖαι Μελίαι, σὲ δ' ἐκοίμισεν Ἀδρήσεια
Λίκνῳ ἐνὶ χρυσέῳ· σὺ δ' ἐθήσαο πίονα μαζὸν
Αἰγὸς Ἀμαλθείης, ἐπὶ δὲ γλυκὺ κηρίον ἔδρως.
Γέντο γὰρ ἐξαπίνης Πανακρίδος ἔργα μελίσσης
Ἰδαίοις ἐν ὄρεσσι, τά τε κλείεσι Πάνακρα.
Οὖλα δὲ Κέρητές γε περὶ πρύλιν ὠρχήσαντο,
Τεύχεα πεπλήγοντες, ἵνα Κρόνος ἔασιν ἠχὴν
Ἀσπίδος εἰσαΐοι, καὶ μὴ σέο κερίζοντος.

37. Καυκώνων.] Ὄρος Ἀρκάδων ὁ Καύκων. *Schol.*—Caucones vetustissimi fuerunt Triphyliæ (quæ est Arcadiæ regio) inquilini: de quorum situ ac domiciliis copiosè disputat Strabo, lib. viii. *Frischlinus.*

39. Λυκαονίης ἄρκτοιο.] Τῆς πρώην λεγομένης Καλλιστοῦς, Λυκάονος δὲ θυγατρὸς· ἐξ ἧς καὶ Διὸς γεγόναται ὁ Ἄρκας, ἀφ' οὗ οἱ Ἀρκάδες *Schol.*

41. Μελίαι.] Meliæ arborum Nymphæ, a μελία, fraxinus, ut Dryades a δρῦς.

Ibid. Ἀδρήσεια.] Ἀδελφὴ Κυρήτων. *Schol.*

43. Ἀμαλθείης.] Οὕτως ἐκαλεῖτο ἡ αἶξ τὸν Δία θρέψασα· λέγεται δὲ ἀπὸ μὲν τοῦ ἑνὸς κέρατος ἀμβροσίαν ῥεῖν, ἀπὸ δὲ τοῦ ἄλλου νέκταρ. *Schol.*

46. Οὖλα. Ὑγιεινῶς. *Schol.* Πρύλιν. ἐνόπλιον. *Schol.*

48. Μὴ σέο κερίζοντος.] Corybantum saltu et tumultu Jovem conservatum esse docet Ovid. Fast. iv.

Ardua jamdudum resonat tinnitibus Ida,
Tutus ut infanti vagiat ore puer.
Pars manibus clypeos, galeas pars tundit inanes:
Hoc Curetes habent, hoc Corybantes opus.

Digitized by Google

Καλὰ μὲν ἠέξευ, καλὰ δ' ἔτραφες, ἠράνιε Ζεῦ.
Ὀξὺ δ' ἀνήβησας, ταχινοὶ δέ τοι ἦλθον ἰοῦλοι.
Ἀλλ' ἔτι παιδνὸς ἐὼν ἐφράσσαο πάντα τέλειπ.
Τῷ τοι καὶ γνωτοὶ, προτερηγενέες περ ἐόντες,
Οὐρανὸν ἐκ ἐμέγηραν ἔχειν ἐπιδαίσιον οἶκον.
Δηναιοὶ δ' ἐ πάμπαν ἀληθέες ἦσαν ἀοιδοί·
Φάντο πάλον Κρονίδῃσι διὰ τρίχα δῶματα νεῖμαι·
Οὔ σε θεῶν ἐσσῆνα πάλοι θέσαν· ἔργα δὲ χειρῶν,
Σή τε Βίη, τό τε Κάρτος, ὃ καὶ πέλας εἵσαο δίφρου.
Θήκαο δ' οἰωνὸν μέγ' ὑπείροχον ἀγγελιώτην
Σῶν τεράων, ἄτ' ἐμοῖσι φίλοις ἐνδέξια φαίνοις.
Εἵλεο δ' αἰζηῶν ὃ, τι φέρτατον· ἐ σύ γε νηῶν
Ἐμπεράμους, ἐκ ἄνδρα σακέσπαλον, ἐ μὲν ἀοιδόν.
Ἀλλὰ τὰ μὲν μακάρεσσιν ὀλίζοσιν ἀντιπαρῆκας,
Ἄλλα μέλειν ἑτέροισι· σὺ δ' ἐξέλεο πολιάρχας
Αὐτούς, ὧν ὑπὸ χεῖρα γεωμόρος, ὧν ἴδρις αἰχμῆς,
Ὧν ἐρέτης, ὧν πάντα· τί δ' ἐ κρατέοντος ὑπ' ἰσχύν;
Αὐτίκα χαλκῆας μὲν ὑδείομεν Ἡφαίστοιο,
Τευχηςὰς δ' Ἄρηος· ἐπακτῆρας δὲ Χιτώνης
Ἀρτέμιδος,

49. Καλὰ δ' ἔτραφες.] Nolit hanc vocem activam passivè sumi Bic. Dawes, et ita locum emendat:

Καλὰ μὲν ἠέξευ, καλὰ δ' ἐτρίφευ, ἠράνιε Ζεῦ.

Videtur verò fefelliſſe virum ingenioſum finalis diphthongus ευ, in ἠέξευ, ἐτρίφευ, ζεῦ, per iſtam lectionem in eodem verſu ter repetita; quam aures illico rejiciunt. Ἐτρίφες, quam idem affert, emendatio longè eſt melior. Ἔτραφες verò paſſivè accipiunt et H. Stephanus, et Caninius in Helleniſm. p. 109.

53. Ἐπιδαίσιον.] Μεμερισμένον. *Schol.*

66. Ὑδείομεν.] Λέγομεν. *Schol.*

67. Χιτώνης.] Νηλεὺς ὁ Κόδρου, ἀποικίαν θέμενος ἀπὸ Ἀθηνῶν· ἔλαβε χρησμὸν

Ἀρτέμιδος, Φοίβου δὲ, λύρης εὖ εἰδότας οἴμους.
Ἐκ δὲ Διὸς βασιλῆες· ἐπεὶ Διὸς οὐδὲν ἀνάκτων
Θειότερον· τῷ καί σφε τεὴν ἐκρίναο λῆξιν.
Δῶκας δὲ πτολίεθρα φυλασσέμεν· ἵζεο δ' αὐτὸς
Ἄκρῃς ἐν πτολίεσσιν ἐπόψιος, οἵ τε δίκῃσι
Λαὸν ὑπὸ σκολιῇς, οἵ τ' ἔμπαλιν ἰθύνουσιν·
Χαῖρε μέγα, Κρονίδη πανυπέρτατε, δῶτορ ἐάων,
Δῶτορ ἀπημονίης· τεὰ δ' ἔργματα τίς κεν ἀείδοι;
Οὐ γένετ', οὐκ ἔσται· τίς κεν Διὸς ἔργματ' ἀείσει;
Χαῖρε, πάτερ, χαῖρ' αὖθι· δίδου δ' ἀρετήν τ' ἄφενός τε.
Οὔτ' ἀρετῆς ἄτερ ὄλβος ἐπίσταται ἄνδρας ἀέξειν,
Οὔτ' ἀρετὴ ἀφένοιο· δίδου δ' ἀρετήν τε καὶ ὄλβον.

χρησμὸν ἐγεῖραι ξόανον τῇ Ἀρτέμιδι ἀπὸ παγκάρπων ξύλων· καὶ δή ποτε ἑορτῆς τελουμένης τῇ Ἀρτέμιδι ἐν τῇ Χιτώνῃ (ἔστι δὲ δῆμος Ἀττικῆς) ἀπελθὼν εὗρε δρῦν πάμπολυν καὶ διάφορον ἔχουσαν ἠρτημένον καρπόν. Καὶ ἐκ τούτου ἐποίησεν ἄγαλμα τῇ θεᾷ· καὶ οὕτω μετῴκησεν ἐν Μιλήτῳ. Ἀπὸ τοῦ δήμου οὖν ἔσχε τὴν ὀνομασίαν ἡ Ἄρτεμις. ἢ, ὅτι τικτομένων τῶν βρεφῶν ἀνετίθεσαν τὰ ἱμάτια τῇ Ἀρτέμιδι. *Schol.*

70. Scholiastes legit τάξιν, et exponit λαχμὸν, κλήρωσιν· quæ interpretatio meliùs convenit τῷ λῆξιν· quam vocem ideo malit Stephanus.

76. Ἀείσει.] Displicet hæc lectio Hen. Stephano, et τῷ Ἑλληνικωτάτῳ Ric. Dawes; quorum ille ἀείδοι, vel ἀείσῃ, malit. Hic neutram istarum lectionum accipit; cum ἀείσῃ Græci sermonis indoli adversari contendat, ἀείδοι vero cum τίς Poetæ sententiæ: ideoque ipse legit,

——————τεὰ δ' ἔργματα τίς κεν ἀείδοι;
Οὐ γένετ', οὐκ ἔσται τις, ὅ κεν Διὸς ἔργματ' ἀείδοι.

Tua verò opera quis tandem celebraverit? Non natus est, non erit quisquam, qui Jovis operâ celebrare poterit.

Ἐκ

Ἐκ τῦ Ὕμνου εἰς τὸν Ἀπόλλωνα.

Οἷον ὁ τῶ Ἀπόλλωνος ἐσείσατο δάφνινος ὄρπηξ,
Οἷα δ' ὅλον τὸ μέλαθρον· ἑκὰς, ἑκὰς, ὅσσις ἀλίτρος.
Καὶ δήπε τὰ θύρετρα καλῷ ποδὶ Φοῖβος ἀράσσει.
Οὐχ' ὁράας; ἐπένευσεν ὁ Δήλιος ἡδύ τι φοινιξ
Ἐξαπίνης, ὁ δὲ κύκνος ἐν ἠέρι καλὸν ἀείδει.
Αὐτοὶ νῦν κατοχῆες ἀνακλίνεσθε πυλάων,
Αὐταὶ δὲ κληῖδες· ὁ γὰρ θεὸς ἐκέτι μακράν.
Οἱ δὲ νέοι μολπήν τε καὶ ἐς χορὸν ἐντύνεσθε.
Ὦ Ἀπόλλων ἐ πάντι φαείνεται, ἀλλ' ὅ τις ἐσθλός.
Ὅς μιν ἴδῃ, μέγας ἔτος· ὃς οὐκ ἴδε, λιτὸς ἐκεῖνος.
Ὀψόμεθ', ὦ Ἐκάεργε, καὶ ἐσσόμεθ' ἔποτε λιτοί.
Μήτε σιωπηλὴν κίθαριν, μήτ' ἄψοφον ἴχνος
Τῆ Φοίβε τὲς παίδας ἔχειν ἐπιδημήσαντος.
Εὐφημεῖτ' αἰσιοντες ἐπ' Ἀπόλλωνος ἀοιδῇ.
Εὐφημεῖ καὶ πόντος, ὅτε κλείουσιν ἀοιδοὶ

3. Λέγεται ἐπὶ τῶν μαντευομένων τὰ θεῖα καὶ ἐπιδημεῖν καὶ ἀποδημεῖν· καὶ ὅταν μὲν ἐπιδημῶσι, τὰς μαντείας ἀληθεῖς εἶναι· ὅταν δὲ ἀποδημῶσι, ψευδεῖς. Ὡς γὰν ἐπιδημοῦντος τῦ θεῦ, ταῦτα φησὶν ὁ Καλλίμαχος. *Schol.*

4. Φοῖνιξ.] Λέγεται, ὅτι παρὰ τῷ δένδρῳ ἐγένησεν ἡ Λητὼ τὸν Ἀπόλλωνα. *Schol.*

6. Αὐτοὶ.] Ἀντὶ τῦ αὐτόματοι. *Schol.*

Ibid. Ἀνακλίνεσθε.] Ὅμηρος· ἢ μὲν ἀνακλῖναι πυκινὸν νέφος, ἠδ' ἐπιθεῖναι. *Schol.*—Hunc locum ex Pſalm. Davidis tranſtuliſſe videtur Callimachus. Vid. Pſ. xxiv. 7.

15. Εὐφημεῖ.] Ἡσυχάζει, γαληνιᾷ.

Ἡ

Ἢ κίθαριν, ἢ τόξα, Λυκωρέος ἔντεα Φοίβου.
Οὐδὲ Θέτις Ἀχιλῆα κινύρεται αἴλινα μήτηρ,
Ὀππότ' ἰὴ ϖαιῆον, ἰὴ ϖαιῆον ἀκούσῃ.
Καὶ μὲν ὁ δακρυόεις ἀναβάλλεται ἄλγεα ϖέτρος,
Ὅς τις ἐνὶ Φρυγίῃ διερὸς λίθος ἐσήρικται. 20
Ἰὴ ἰὴ φθέγγεσθε· κακὸν μακάρεσσιν ἐρίζειν.
Τὸν χορὸν ὦ ϖόλλων, ὅτι οἱ κατὰ θυμὸν ἀείδει,
Τιμήσει· δύναται γὰρ, ἐπεὶ Διὶ δεξιὸς ἧσαι.
Οὐδ' ὁ χορὸς μετὰ Φοῖβον ἐφ' ἓν μόνον ἦμαρ ἀείσει,
Ἔσι γὰρ εὔϋμνος· τίς ἂν ἐ ῥέα Φοῖβον ἀείδοι; 25
Χρύσεα τῷ ϖόλλωνι τό τ' ἐνδυτὸν, ἥ τ' ἐπιορπὶς,
Ἥ τε λύρη, τό τ' ἄεμμα τὸ Λύκτιον, ἥ τε φαρέτρη·
Χρύσεα καὶ τὰ ϖέδιλα· ϖολύχρυσος γὰρ Ἀπόλλων,
Καί τε ϖολυκλέανος. Πυθῶνί κε τεκμήραιο.
Καί κεν ἀεὶ καλὸς καὶ ἀεὶ νέος· ἤϖοτε Φοίβῳ 30
Θηλείαις, ὐδ' ὅσσον, ἐπὶ χνόος ἦλθε ϖαρειαῖς.
Αἱ δὲ κόμαι θυόεντα ϖέδῳ λείβουσιν ἔλαια.
Οὐ λίϖος Ἀπόλλωνος ἀϖοσάζουσιν ἔθειραι,
Ἀλλ' αὐτὴν ϖανάκειαν· ἐν ἄφει δ' ᾧ κεν ἐκεῖναι
Πρῶκες ἔραζε ϖέσωσιν, ἀκήρια ϖάντ' ἐγένοντο. 35
Τέχνη δ' ἀμφίλαφὴς ἔτις τόσον, ὅσσον Ἀπόλλων.

16. Λυκωρέος.] Lycorea nomen urbis Apollinis ſacræ. *Suid. in Lex.*

17. Οὐδὲ Θέτις.] Thetis et Niobe, etſi prolem ſuam ab Apolline interfectam parens utraque lamentaretur, dolorum tamen, cantu delinitæ, obliviſcuntur.

Ibid. Αἴλινα.] Ἤτοι θρηνητικά. *Scbol.*

25. Οὐ ῥέα.] Ante H. Stephanum legebatur *αἰ' ἄρεα, per montes.*

27. Λύκτιον.] Lyctus urbs Cretæ.

Κεῖνος

Κεῖνος οἰζυστὴν ἔλαχ' ἀνέρα, κεῖνος ἀοιδόν.
Φοίβῳ γὰρ καὶ τόξον ἐπιτρέπεται καὶ ἀοιδή.
Κείνῳ δὲ Θριαὶ, καὶ μάντιες· ἐκ δὲ νυ Φοίβῳ
Ἰητροὶ δεδάασιν ἀναβλῆσιν θανάτοιο.
Φοῖβον καὶ Νόμιον κικλήσκομεν, ἐξέτι κείνου,
Ἐξότ' ἐπ' Ἀμφρυσῷ ζευγήτιδας ἔτρεφεν ἵππους,
Ἠιθέος ὑπ' ἔρωτι κεκαυμένος Ἀδμήτοιο.
Ῥεῖά κε βυβόσιον τελέθοι πλέον, ὧδέ κεν αἶγες
Δεύοιντο βρεφέων ἐπὶ μηκάδες, ἦσιν Ἀπόλλων
Βοσκομένης ὀφθαλμὸν ἐπήγαγεν· ὧδ' ἀγάλακτες
Οἶες, ὧδ' ἄκυθοι, πᾶσαι δέ κεν εἶεν ὕπαρνοι·
Ἡ δέ κε μυνοτόκος, διδυματόκος αἶψα γένοιτο.
Φοίβῳ δ' ἐσπόμενοι πόλιας διεμετρήσαντο
Ἄνθρωποι. Φοῖβος γὰρ ἀεὶ πολίεσσι φιλῆδεῖ
Κτιζομένης, αὐτὸς δὲ θεμείλια Φοῖβος ὑφαίνει.
Τετραέτης τὰ πρῶτα θεμείλια Φοῖβος ἔπηξε
Καλῇ ἐν Ὀρτυγίῃ, περιηγέος ἐγγύθι λίμνης.
Ἄρτεμις ἀγρώσσουσα καρήατα συννεχὲς αἰγῶν
Κυνθιάδων φορέεσκεν, ὁ δ' ἔπλεκε βωμὸν Ἀπόλλων.
Δείματο μὲν κεράεσσιν ἐΰθλια, πῆξε δὲ βωμὸν
Ἐκ κεράων, κεραοὺς δὲ περιῤῥὶξ ἐπεβάλλετο τοίχῳ.
Ὧδ' ἔμαθεν τὰ πρῶτα θεμείλια Φοῖβος ἐγείρειν.

39. Θριαὶ.] Μαντικαὶ ψῆφοι εἰσὶν αἱ Θριαὶ. *Schol.*

42. Ἀμφρυσῷ.] Ἀμφρυσὸν οἱ μὲν ποταμὸν Θεσσαλίας, αἱ δὲ πόλιν. *Schol.*

45. Ἄκυθοι.] Ἄγονοι· κύθος, γὰρ τὸ κύημα. *Schol.*

53. Περιηγέος.] Κυκλοτερῆ· ἔτω γὰρ στρογγύλη λίμνη ἡ Ὀρτυγία καλεῖται. *Schol.*

55. Κυνθιάδων.] Κύνθος, ὄρος τῆς Δήλου. *Schol.*

Φοῖβος

Φαῖδος καὶ βαθύγειον ἐμὴν πόλιν ἔφρασε Βάτῳ.
Καὶ Λιβύην ἐσιόντι κόραξ ἡγήσατο λαῷ
Δεξιὸς οἰκιστήρ· καὶ ὤμοσε τείχεα δώσειν
Ἡμετέροις βασιλεῦσιν· ἀεὶ δ' εὔορκος Ἀπόλλων.
Ὦ Ἄπολλον, πολλοί σε Βοηδρόμιον καλέουσι,
Πολλοὶ δὲ Κλάριον· πάντη δέ τοι ἔνομα πέλυ.
Αὐτὰρ ἐγὼ Καρνεῖον· ἐμοὶ πατρώϊον ἔτω.
Ἰὴ ἰή, Καρνεῖε πολύλλιτε, σεῖο δὲ βαμοὶ

59. Βάτῳ.] Λέγεται, ὅτι ἔτῳ ὁ Βάτῳ ἄφωνος ἦν· ἀπῆλθεν ὖν εἰς τὸ τοῦ Ἀπόλλωνος ἱερόν, ἐπὶ τῷ τὸν θεὸν ἐρωτῆσαι περὶ τῆς φωνῆς. ὁ δὲ ἔχρησεν αὐτῷ ἐκέτι περὶ φωνῆς, ἀλλὰ περὶ μετοικίας. Καὶ ὁ Βάτῳ πεισθεὶς τῷ χρησμῷ, ἦλθεν εἰς τὴν Λιβύην· λέγεται δὲ εἶναι πολλὰς λέοντας ἐν ταύτῃ τῇ χώρᾳ· ἐπιδημήσας ὖν ὁ Βάτῳ, καὶ λέοντα αἰφνιδίως θεασάμενος, τῇ τοῦ φόβου ἀνάγκῃ βιασθεὶς φθέγξασθαι, διέῤῥηξε τὴν φλέβα, ἥτις τὴν ἐκείνου φωνὴν ἐπεῖκε· κ᾽ ἔτω φωνήεις ἐγένετο, κ᾽ τὴν Κυρήνην ἔκτισε, ὅθεν ἐστὶν ὁ Καλλίμαχος. *Schol.*

62. Βασιλεῦσιν.] Τῷ Πτολεμαίῳ. *Schol.*

63. Βοηδρόμιον.] Πολέμου ἐπελθόντος τοῖς Ἀθηναίοις, ἔχρησεν αὐτοῖς ὁ θεὸς, μετὰ βοῆς ἐπιθέσθαι τοῖς πολεμίοις· οἱ δὲ τοῦτο ποιήσαντες ἐνίκησαν· ὅθεν Βοηδρόμιος Ἀπόλλων. *Schol.*

Boëdromius Apollo ab Athenienſibus cultus fuit, quaſi auxiliatorem dicas, in cujus honorem, teſte Suidâ, feſtum Boëdromia iidem inſtituerunt: unde et menſi Boëdromioni nomen factum, quo Theſeus Amazones prælio vicit, quod refert Plutarchus in Theſ. *Friſch.*

64. Κλάριον.] Claros, Ioniæ civitas, in quâ nobile fuit Apollinis delubrum. *Friſch.*

65. Καρνεῖον.] Habuit Carnæi Apollinis religio a Carno originem, qui patriâ fuit Acarnan, et ab Apolline artem divinandi didicit. Hunc cùm interfeciſſet Hippotes, iratus Deus Dorienſes malè mulctavit. Hippotâ in capitis judicium adducto, Dorienſes Acarnanem vatem ſtatuerunt ſacris et cæremoniis placandum. Hæc Pauſanias in Laconicis. Non ab Hippotâ, ſed Alete quodam, Carnum interfectum eſſe memorat Scholiaſtes.

65. Ἐμοὶ πατρῴϊον.] A Lacedæmoniis ad Cyrenæos traducta ſunt Carnæa in honorem Apollinis feſta.

Digitized by Google

Ἄνθεα μὲν φορέουσιν ἐν εἴαρι, τόσσα πέρ ὧραι
Ποικίλαι ἀγινεῦσι, Ζεφύρου πνείοντος ἐέρσην·
Χείματι δὲ, κρόκον ἡδύν· ἀεὶ δέ τοι ἀέναον πῦρ,
Οὐδέ ποτε χθιζὸν περιβόσκεται ἄνθρακα τέφρη.
Ἦ ῥ' ἐχάρη μέγα Φοῖβος, ὅτε ζωσῆρες Ἐνυῆς
Ἀνέρες ὠρχήσαντο κατὰ ξανθῇσι Λιβύσσης,
Τέθμιαι εὖτέ σφιν Καρνειάδες ἤλυθον ὧραι.
Ἰὴ ἰὴ παιῆον, ἀκούομεν, ἕνεκα τεῦτο
Δελφός τοι πρώτιστον ἐφύμνιον εὕρετο λαός,
Ἥμος ἑκηβολίην χρυσέων ἐπεδείκνυσο τόξων.
Πυθώ τοι κατιόντι συνήντετο δαιμόνιος θὴρ,
Αἰνὸς ὄφις. τὸν μὲν σὺ κατήναρες, ἄλλον ἐπ' ἄλλῳ
Βάλλων ὠκὺν ὀϊστόν· ἐπηΰτησε δὲ λαός,
Ἰὴ ἰὴ παιῆον, ἵει βέλος. εὐθύ σε μήτηρ
Γείνατ' ἀοσσητῆρα· τὸ δ' ἐξέτι κεῖθεν ἀείδη.
Ὁ φθόνος Ἀπόλλωνος ἐς ἅπατα λάθριος εἶπεν,
Οὐκ ἄγαμαι τὸν ἀοιδὸν, ὃς ὑχ', ὅσα πόντος, ἀείδει.
Τὸν φθόνον ὦ πόλλων ποδί τ' ἤλασεν, ὧδέ τ' ἔειπεν·
Ἀσσυρίῃ ποταμοῖο μέγας ῥόος, ἀλλὰ τὰ πολλὰ
Λύματα γῆς καὶ πολλὸν ἐφ' ὕδατι συρφετὸν ἕλκει.
Δηοῖ δ' ὐκ ἀπὸ παντὸς ὕδωρ φορέουσι Μέλισσαι,

72. Ὠρχήσαντο.] Ὡς ἐπιτελέντων ἐν τῇ Διβύῃ ἑορτὴν Καρνείῳ Ἀπόλλωνι. *Schol.*

73. Τέθμιαι.] Νόμιμοι· ὡρισμέναι. *Schol.*

82. Ἀπόλλωνος.] Hæc ad Apollinem referuntur, ut qui Poeticæ præfit.

83. Οὐκ ἄγαμαι.] Ἐγκαλεῖ διὰ τούτων τὸν σκώπτοντας αὐτὸν μὴ δύνασθαι ποιῆσαι μέγα ποίημα, ὅθεν ἠναγκάσθη ποιῆσαι τὸν Ἑκάλην. *Schol.* *Apollonium Rhodium* Callimachi obtrectatorem fuisse creditur.

87. *Melissæ* dictæ sunt Cereris sacerdotes, ut docet Pindari interpres iv. Hymn. Pyth. Μελίσσας κυρίως μὲν τὰς τῆς Δήμητρος ἱερείας φασί.

Ἀλλ'

Digitized by Google

Ἀλλ' ἥτις καθαρή τε καὶ ἀχράαντος ἀνέρπει
Πίδακος ἐκ ἱερῆς ὀλίγη λιβάς, ἄκρον ἄωτον.
Χαῖρε, ἄναξ· ὁ δὲ Μῶμος, ἵν' ὁ φθόρος, ἔνθα νέοιτο.

Ἐκ τοῦ ΥΜΝΟΥ εἰς τὴν ΑΡΤΕΜΙΝ.

ΑΡΤΕΜΙΝ (ἐ γὰρ ἐλαφρὸν ἀειδόντεσσι λαθέσθαι)
Ὑμνέομεν, τῇ τόξα λαγωβολίαι τε μέλονται,
Καὶ χορὸς ἀμφιλᾶφὴς, καὶ ἐν ὄρεσιν ἐψιάασθαι.
Ἀρχόμεν', ὡς ὅτε πατρὸς ἐφεζομένη γονάτεσσι
Παῖς ἔτι κυρίζουσα, τάδε προσέειπε γονῆα·
Δός μοι παρθενίην αἰώνιον, ἄππα, φυλάσσειν,
Καὶ πολυωνυμίην· ἵνα μή μοι Φοῖβος ἐρίζῃ.
Δὸς δ' ἰὺς καὶ τόξα. ἔα, πάτερ· ἔ σε φαρέτρην,
Οὐδ' αἰτέω μέγα τόξον· ἐμοὶ Κύκλωπες ὀϊστοὺς
Αὐτίκα τεχνήσονται, ἐμοὶ δ' εὐκαμπὲς ἄεμμα·
Ἀλλὰ φαεσφορίην τε, καὶ ἐς γόνυ μέχρι χιτῶνα
Ζώννυσθαι λεγνωτὸν, ἵν' ἄγρια θηρία καίνω.
Δὸς δέ μοι ἑξήκοντα χορήτιδας Ὠκεανίνας,
Πάσας εἰνετέας, πάσας ἔτι παῖδας ἀμίτρους.
Δὸς δέ μοι ἀμφιπόλους Ἀμνισίδας εἴκοσι νύμφας,
Αἵ τέ μοι ἐνδρομίδας τε, καὶ, ὁππότε μηκέτι λύγκας

3. Ἀμφιλαφής.] Vocantur hic, ut opinor, choreæ latæ et ſpatioſæ: quæ ſe in longum ſpatium extendunt. *H. Steph.* manibus ſcilicet mutuò inter ſe a ſaltantibus utrinque prehenſis.

14. Ἀμίτρους.] Comis ſolutis: aliter quidem Scholiaſtes.

15. Ἀμνισίδας.] Ἀμνισὸς ποταμὸς Κρήτης· ἀφ' ἧ Κρητικαί, *Sch.*

16. Ἐνδρομίδας.] Τὰ ὑποδήματα. *Schol.*

Μήτ' ἐλάφῳς βάλλοιμι, θοὺς κύνας εὖ κομέοιεν.
Δὸς δέ μοι ἔρεα πάντα, πόλιν δέ μοι ἥντινα νεῖμον,
Ἥντινα λῇς· σπαρνὸν γὰρ, ὅτ' Ἀρτεμις ἄγυ πάτεισιν.
Οὔρεσιν οἰκήσω· πόλεσι δ' ἐπιμίξομαι ἀνδρῶν
Μᾶλλον ὅτ' ὀξείῃσιν ὑπ' ὠδίνεσσι γυναῖκες
Τειρόμεναι καλέυσι βοηθόον· ἦσί με μοῖραι
Γεινομένην τοπρῶτον ἐπεκλήρωσαν ἀρήγειν·
Ὅτι με καὶ τίκτουσα καὶ οὐκ ἤλγησε φέρουσα
Μήτηρ, ἀλλ' ἀμογητὶ φίλων ἀπεθήκατο κόλπων.
Ὡς ἡ πατὴρ εἰποῦσα γενειάδος ἤθελε πατρὸς
Ἅψασθαι, πολλὰ δὲ μάτην ἐτανύσσατο χεῖρας,
Μέχρις ἵνα ψαύσειε. πατὴρ δ' ἐπένευσε γελάσσας·
Φῆ δὲ καταῤῥέζων· Ὅτε μοι τοιαῦτα θέαιναι
Τίκτοιεν, τυτθόν κεν ἐγὼ ζηλήμονος Ἥρης
Χωομένης ἀλέγοιμι· φέρευ τέκος, ὅσσ' ἐθελημὸς
Αἰτίζεις, καὶ δ' ἄλλα πατὴρ ἔτι μείζονα δώσει·
Τρὶς δέκα τοι πολίεθρα, καὶ οὐχ ἕνα πύργον, ὀπάσσω.
Τρὶς δέκα τοι πολίεθρα, τὰ μὴ θεὸν ἄλλον ἀέξειν
Εἴσεται, ἀλλά μούνην σε, καὶ Ἀρτέμιδος καλέεσθαι.
Πολλὰς δὲ ξυνῇ πόλιας διαμετρήσασθαι
Μεσσόγεως, νήσους τε· καὶ ἐν πάσῃσιν ἔσονται
Ἀρτέμιδος βωμοί τε καὶ ἄλσεα· καὶ μὲν ἀγυιαῖς

18. Ἥντινα νεῖμον.] H. Stephano displicet hæc lectio, et Scholiastis annotatio. Legi velit ille, πόλιν δὲ μίην τινὰ νεῖμον: aut si vulgata lectio retinenda sit, interrogationem putat minùs durum illum vocis ἥντινα usum redditurum, cum ellipsi verbi, hoc modo: πόλιν δὲ μοι ἥντινα; νεῖμον ἥντινα λῇς.

19: Λῇς ἀντὶ τῦ θέλεις, κατ' ἀποβολὴν τῆς θ συλλαβῆς· κέχρηται πολλαχῦ τῇ λέξει ὁ Θεόκριτος. *Schol.*

Ἔσσῃ

Ἔσσῃ καὶ λιμένεσσιν ἐπίσκοπος. Ὣς ὁ μὲν εἰπὼν
Μῦθον ἐπεκρήηνε καρήατι· βαῖνε δὲ κούρη
Λευκὸν ἐπι, Κρηταῖον ὄρος, κεκομημένον ὕλῃ·
Ἔνθεν ἐπ' Ὠκεανόν· πολέας δ' ἐπελέξατο νύμφας,
Πάσας εἰνέτεας, πάσας ἔτι παῖδας ἀμίτρους.
Χαῖρε δὲ Καίρατος ποταμὸς μέγα, χαῖρε δὲ Τηθὺς,
Οὕνεκα θυγατέρας Λητωΐδι πέμπεν ἀμορβούς.
Αὖθι δέ Κύκλωπας μετεκίαθε· τοὺς μὲν ἔτετμε
Νήσῳ ἐνὶ Λιπάρῃ (Λιπάρῃ νέον, ἀλλὰ τότ' ἔσκεν
Οὔνομά οἱ Μελιγουνὶς) ἐπ' ἄκμοσιν Ἥφαίστοιο
Ἑσταότας περὶ μύδρον· ἐπείγετο γὰρ μέγα ἔργον,
Ἱππείην τετύκοντο Ποσειδάωνι ποτίστρον.
Αἱ νύμφαι δ' ἔδδεισαν, ὅπως ἴδον αἰνὰ πέλωρα
Πρηόσιν Ὀσσείοισιν ἐοικότα, πᾶσι δ' ὑπ' ὀφρὺν
Φάεα μουνόγληνα, σάκει ἴσα τετραβοείῳ,
Δεινὸν ὑπογλαύσοντα, καὶ ὁππότε δοῦπον ἄκουσαν
Ἄκμονος ἠχήσαντος· ἐπὶ μέγα πουλύ τ' ἄημα
Φυσάων, αὐτῶν τε βαρὺν στόνον· αὖε γὰρ Αἴτνη,
Αὖε δὲ Τρινακρίη, Σικανῶν ἕδος, αὖε δὲ γείτων
Ἰταλίη, μεγάλην δὲ βοὴν ἐπὶ Κυρνὸς ἀΰτει,
Εὖθ' οἵγε ῥαιστῆρας ἀειράμενοι ὑπὲρ ὤμων,
Ἢ χαλκὸν ζείοντα καμινόθεν, ἠὲ σιδηρον,

41. Λευκόν.] Ὄρος Κρήτης. ἑνικῶς οὗτος εἴρηκε, λευκὰ δὲ ὄρη λέγονται πληθυντικῶς. *Schol.*

44. Καίρατος.] Ποταμὸς Κρήτης, καὶ πόλις ἡ Καίρατος, οὕτω λεγομένη. *Schol.*

55. Ἀμορβούς.] Ἀκολούθους, παρὰ τὸ ἅμα πορεύεσθαι. *Schol.*

47. Λιπάρῃ.] Νῆσος ἡ Λιπάρη Σικελίας, ἔνθα ἦν τὰ χαλκεῖα Ἡφαίστου. ἔστι δὲ μία τῶν Αἰολίδων. *Schol.*

52. Ὀσσείοισιν.] Ὄσσα, ὄρος Μακεδονίας. *Schol.*

Ἀμβολαδὶς

Ἀμβολαδὶς τετύποντες, ἐπὶ μέγα μοχθήσειαν.
Τῷ σφέας ἐκ ἐτάλασσαν ἀκηδέες Ὠκεανῖναι
Οὔτ' ἄντην ἰδέειν, ὅτε κλύπον ἄασι δέχθαι.
Οὐ νέμεσις· κείνης δὲ καὶ αἱ μάλα μηκέτι τυτθαὶ
Οὐδέποτ' ἀφρικλὶ μακάρων ὀρόωσι θύγατρες.
Ἀλλ' ὅτε κυράων τὶς ἀπειθέα μητέρι τεύχοι,
Μήτηρ μὲν Κύκλωπας ἐῇ ἐπὶ παιδὶ καλιςρεῖ,
Ἄργην, ἢ Στερόπην· ὁ δὲ δώματος ἐκ μυχάτοιο
Ἔρχεται Ἑρμείης, σποδιῇ τε κεχρημένος αἰθῇ
Αὐτίκα τὴν κύρην μορμύσσεται· ἡ δὲ τεκέσης
Δύνει ἔσω κόλπους, θεμένη ἐπὶ φάεσι χεῖρας.
Κῦρα, σὺ δὲ προτέρω περ, ἔτι τριέτηρος ἐοῦσα,
Εὖτ' ἔμολεν Λητώ σε μετ' ἀγκαλίδεσσι φέρουσα,
Ἡφαίςῳ καλέοντος, ὅπως ὁπλήια δοίη,
Βρόντεω σε ςιβαροῖσιν ἐφεσσαμένῳ γονάτεσσι,
Στήθεος ἐκ μεγάλῳ λασίης ἐδράξαο χαίτης.
Τῷ μάλα θαρσαλέη σφε τάδε προσελέξαο τῆμος.
Κύκλωπες, καὶ μοί τι Κυδώνιον, εἰ δ' ἄγε, τόξον,
Ἠδ' ἰὸς, κοίλην τε κατακληῖδα βελέμνων
Τεύξατε· καὶ γὰρ ἐγὼ Λητωϊὰς, ὥσπερ Ἀπόλλων.
Εἰ δέ κ' ἐγὼ τόξοις μόνιον δάκος, ἢ τι πέλωρον
Θηρίον ἀγρεύσω, τόδε κεν Κύκλωπες ἔδοιεν.

61. Ἀμβολαδίς.] Ἐκ διαδοχῆς. *Schol.*
69. Κεχρημένος.] Non dubito quin reponendum sit κιχρισμένος. *H. Steph.*
70. Μορμύσσεται.] Ἐκφοβεῖ. *Schol.*
74. Ὁπλήρια.] Τὰ ὑπὲρ τῆ ἰδιῆ δῶρα. *Schol.*
Ibid. Κυδώνιον.] Ἔθνος Κρήτης· ἀφ' ὃ Κρητικόν. *Schol.*

Ἔννεπες·

Ἔννεπες· οἱ δ' ἐτέλεσσαν· ἄφαρ δ' ὡπλίσσαο, δαῖμον·
Αἶψα δ' ἐπὶ σκύλακας πάλιν ἤιες· ἴκεο δ' αὖλιν
Ἀρκαδικὴν ἐπὶ Πανός· ὁ δὲ κρέα λυγκὸς ἔταμνε
Μαιναλίης, ἵνα οἱ τοκάδες κύνες εἶδαρ ἔδοιεν.
Τὸν δ' ὁ γενειήτης δύο μὲν κύνας ἤμισυ πηγὲς,
Τρεῖς δὲ παρκατίους, ἕνα δ' αἰόλον, οἵ ῥα λέοντας
Αὐτὲς αὐερύοντες, ὅτε δράξαιντο δεράων,
Εἶλκον ἔτι ζώοντας ἐπ' αὐλίον· ἐπλὰ δ' ἔδωκε
Θάσσονας αὐράων κυνοσυρίδας, αἵ ῥα διῶξαι
Ὤκισαι νεβρές τε, καὶ ὑ μύοντα λαγωὸν,
Καὶ κοίτην ἐλάφοιο, καὶ ὕσριχος ἔνθα καλιαὶ
Σημῆναι, καὶ ζορκὸς ἐπ' ἴχνιον ἠγήσασθαι.
Ἔνθεν ἀπερχομένη (μέτα καὶ κύνες ἐσσεύοντο)
Εὗρες ἐπὶ τρομολῆς ὄρεος τῦ Παῤῥασίοιο
Σκαιρέτας ἐλάφους, μέγα τι χρέος, αἱ μὲν ἐπ' ὄχθης
Αἰὲν ἐβεκολέοντο μελαμψηφίδος Ἀναύρυ,
Μάσσονες ἢ ταῦροι· κεράων δ' ἀπελάμπετο χρυσός.
Ἐξαπίνης δ' ἔταφές τε, καὶ ὃν τοτὶ θυμὸν ἔειπες.

Τῦτό

86. Μαιναλίης.] Μαίναλον, ὄρος Ἀρκαδίας. *Schol.*
87. Πηγὲς.] Λευχὲς· ἢ Ὅμηρος, πηγισιμάλλω *Schol.*
91. Κυνοσυρίδας.] Τὰς ὑπὸ κυνῶν ἢ ἀλωπέκων τικτομένας κύνας. ἢ τὰς Λακωνικὰς· Κυνοσυρὶς γὰρ τόπος Λακωνικῆς. *Schol.*—Cynosura, auctore Stephano, promontorium est Arcadiæ, a Cynosuro Mercurii filio.
93. Ὑσριχος.] Ὑσριξ, θηρίον τι ταχύταλον. *Schol.*
96. Τρομολῆ.] Ταῖς διεξόδοις τῦ Παῤῥασίου ὄρους Ἀρκαδίας. *Schol.*
58. Ἀναύρυ.] Ποταμὸς Θισσαλίας ὁ Ἀναυρος. *Schol.*
100. Ὅν, tuum. "Latiùs aliquantò, quam vulgò creditur, "patent hæc provocabula ἰὸς ἢ σφέτερος· nam cum soleant ple-

"rumque

Τῦτό κεν Ἀρτέμιδος πρωτάγριον ἄξιον εἴη.
Πέντ' ἔσαν αἱ πᾶσαι· πίσυρας δ' ἕλες ὦκα θέουσα,
Νόσφι κυνοδρομίης, ἵνα τοι θοὸν ἅρμα φέρωσι.
Τὴν δὲ μίαν, Κελάδοντος ὑπερ ποταμοῖο φυγεῖσαν,
Ἥρης ἐννεσίῃσιν, ἀέθλιον Ἡρακλῆϊ
Ὑςάτον ὄφρα γένοιτο, πάγος Κερύνειος ἔδεκτο.
Ἄρτεμι παρθενίη, Τιτυοκτόνε, χρύσεα μέν τοι
Ἔντεα καὶ ζώνη, χρύσεον δ' ἐζεύξαο δίφρον,
Ἐν δ' ἐβάλευ χρύσεια, θεὰ, κεμάδεσσι χαλινά.
Πῆ δέ σε τοπρῶτον κεροέις ὄχος ἤρξατ' ἀείρειν;
Αἵμῳ ἐπὶ Θρήϊκι, τόθεν βορέαο καταίξ
Ἔρχεται ἀχλαίνοισι δυσαέα κρυμὸν ἄγυσα.
Πῆ δ' ἔταμες πεύκην; ἀπὸ δὲ φλογὸς ἧψαο ποίης;
Μυσῷ ἐν Οὐλύμπῳ· φάεος δ' ἐνέηκας ἀϋτμὴν
Ἀσβέςῳ, τό ῥα πατρὸς ἀποσάζεσι κεραυνοί.
Ποσσάκι δ' ἀργυρέοιο, θεὴ, πειρήσαο τόξου;
Πρῶτον ἐπὶ Τελέθριον, τὸ δὲ δεύτερον ἦκας ἐπὶ δρῦν,
Τὸ τρίτον αὖτ' ἐπὶ θῆρα· τὸ τέτρατον ὐκέτ' ἐπὶ δρῦν,
Ἀλλά μιν εἰς ἀδίκων ἔβαλες πόλιν, οἵ τε περὶ σφέας,
Οἵ τε περὶ ξείνες ἀλιτήμονα πόλλ' ἐτέλεσκον.

" rumque ad tertiam perſonam referri, Poëtæ tamen ad reliquas
" etiam duas eorum vim extendunt, pro ἐμὸς, σὸς, ἡμέτερος, ὑμέ-
" τερος." *Canter* Nov. Lect. v. 13.

104. Κελάδοντος.] Ποταμὸς Ἀρκαδίας. *Schol.*

106. Κερύνειος.] Λόφος Ἀρκαδίας. *Schol.*

107. Τιτυοκτόνε.] Τιτυὸς βιασάμενος Λητὼ, ἀνῃρέθη ὑπὸ Ἀπόλλωνος καὶ Ἀρτέμιδος. *Schol.*

111. Καταίξ.] Ἡ λεγομένη καταιγίς. *Schol.*

114. Μυσῷ ἐν Οὐλύμπῳ.] Ἔστι γὰρ καὶ Μακεδονίας. *Schol.*

Σχέτλιοι,

Σχέτλιοι, οἷς τύνη χαλεπὴν ἐμμάξεαι ὀργήν.
Κτήνεά φιν λοιμὸς καταβόσκεται, ἔργα δὲ ϖάχνη.
Κείρονται δὲ γέροντες ἐφ' υἱάσιν· αἱ δὲ γυναῖκες,
Ἢ βλεταὶ θνήσκουσι λεχωΐδες, ἢὲ φυγοῦσαι
Τίκλουσιν τῶν δ' ὠδὴν ἐπὶ σφυρὸν ὀρθὸν ἀνέσῃ.
Οἳς δέ κεν εὐμειδὴς τε καὶ ἵλαος αὐγάσσηαι,
Κείνοις εὖ μὲν ἄρουρα φέρει ϛάχυν, εὖ δὲ γενέθλη
Τετραπόδων, εὖ δ' ὅλβος ἀέξεται, ὠδ' ἐπὶ σῆμα
Ἔρχονται, ϖλὴν εἴτε ϖολυχρονίόν τι φέρωσιν.
Οὐδὲ διχοϛασίη τρώγει γένος, ἤτε καὶ εὖ ϖερ
Οἴκους ἐϛηῶτας ἐσίνατο· ταὶ δὲ θυωρὸν
Εἰνάτερες γαλόω τε μίαν ϖέρι δίφρα τίθενται.
Πότνια, τῶν εἴη μὲν ἐμοὶ φίλος ὅϛις ἀληθὴς,
Εἴην δ' αὐτὸς, ἄνασσα· μέλοι δέ μοι αἰὲν ἀοιδὴ,
Τῇ ἔνι μὲν Λητῦς γάμος ἔϛσεται, ἐν δὲ σὺ ϖολλὴ,
Ἐν δὲ καὶ Ἀπόλλων, ἐν δ' οἱ σέο ϖάντες ἄεθλοι·
Ἐν δὲ κυνές, καὶ τόξα, καὶ ἄντυγες, αἵτε σε ῥεῖα
Θηητὴν φορέουσιν, ὅτ' ἐς Διὸς οἶκον ἐλαύνεις.
Ἐνθά τοι ἀντιόωντες ἐνὶ ϖρομολῇσι δέχονται,

121. Ἐμμάξεαι.] Ἐμβάλῃς. *Schol.*

122. Κτήνεά φιν.] Φιν χωρὶς τῦ σ, διὰ τὸ μέτρον. *Schol.*

125. Ἐπὶ σφυρὸν ὀρθὸν.] Refero τῶν in hoc verſu ad id quod dixit τίκλουσιν. Dicit igitur illas profugas talia parere, quæ nunquam ſe in pedes erigant: ſignificans eas fœtus edere, qui ad breve tempus ſint vitales. *H. Steph.* Hæc verò dictio ἐπὶ σφυρὸν ὀρθὸν videtur poſſe in hoc loco generaliter per metaphoram ſumi, idemque ſignificare quod apud Latinos *recto talo ſtare*, id eſt, *rectè progredi, bene cedere.*

131. Θυωρόν.] Θυωρὸς, ἡ φιλικὴ τράπεζα· κυρίως δὲ, ἡ θεοῖς ἀνατιθεμένη. *Schol.*

Digitized by Google

Ὅπλα μὲν Ἑρμείης ἀκακήσιος, αὐτὰρ Ἀπόλλων
Θηρίον ὅ, τι φέρησθα· πάροιθε δὲ, πρίν περ ἱκέσθαι
Καρτερὸν Ἀλκείδην· νῦν δ' ἐκέτι τῆτον ἄεθλον
Φοίβος ἔχει· τοῖος γὰρ ἀεὶ Τιρύνθιος ἄκμων
Ἔσηκε πρὸ πυλέων, ποτιδέγμενος, εἴ τι φέρυσα
Νεῖαι τῶν ἔδεσμα. θεοὶ δ' ἐπὶ πάντες ἐκείνῳ
Ἄλληκ[τον γελόωσι, μάλιςα δὲ πενθερὴ αὐτὴ,
Ταῦρον ὅτ' ἐκ δίφροιο μάλα μέγαν, ἢ ὄγε χλέυην
Κάπρον ὀπισθιδίοιο φέρων ποδὸς ἀσπαίροντα
Κερδαλέῳ μύθῳ σε, θεὴ, μάλα τῷδε πινύσκει·
Βάλλε κακὺς ἐπὶ θῆρας, ἵνα θνητοί σε βοηθὸν,
Ὡς ἐμὲ, κικλήσκωσιν· ἔα πρόκας ἠδὲ λαγωὺς
Οὔρεα βόσκεσθαι· τί δέ κεν πρόκες ἠδὲ λαγωοὶ
Ῥέξειαν; σύες ἔργα, σύες φυτὰ λυμαίνονται.
Καὶ βόες ἀνθρώποισι κακὸν μέγα· βάλλ' ἐπὶ καὶ τύς.
Ὡς ἔνεπεν, ταχινὸς δὲ μέγαν περὶ θῆρα πονεῖται.
Σοὶ δ' Ἀμνισιάδες μὲν ὑπὸ ζεύγληφι λυθείσας
Ψήχυσιν κεμάδας, παρὰ δὲ σφισι πηλὺ νέμεσθαι
Ἥρης ἐκ λειμῶνος ἀμησάμεναι, φορέυσιν.

140. Ἀκακήσιος.] Ἀπὸ ὄρυς Ἀρκαδίας. *Schol.* Acacesium urbem fuisse Arcadiæ, infra tumulum Acacesium, in quo Mercurii Acacesii signum marmoreum exstiterit, ex Pausan. Arcadicis intelligitur. Acacesium verò ab Acaco (quasi dicas, *non malo*) Lycaonis filio, nomen accepit. *Steph. de Urbibus. Frischl.* Ἑρμείας ἀκάκητα. *Hom.* Iliad. π'. 185. et Schol. in locum.

142. Ἄκμων.] Ὁ μὴ καμὼν ἐπὶ τοῖς ἄθλοις Ἡρακλῆς. *Schol.* Tiryns verò urbs erat Peloponnesi, in quâ enutritus est Hercules.

149. Πινύσκει.] Σωφρονίζει, κολακεύει ὁ Ἡρακλῆς. *Schol.*

151. Ἔα πρόκας.] Διὰ τὴν ἀδηφαγίαν τὰ μείζω τῶν ζώων κελεύει αὐτὴν ἀγρεύειν. *Schol.*

Ὠκύθοον

Ὠκύθοον τριπέτηλον. ὃ καὶ Διὸς ἵπποι ἔδεσι·
Ἐν καὶ χρυσείας ὑπολεπίδας ἐπλήσαντο
Ὕδατος, ὄφρ' ἐλάφοισι ποτὸν θυμάρμενον εἴη.
Αὐτὴ δ' ἐς πατρὸς δόμον ἔρχεαι· οἱ δέ σ' ἐφ' ἕδρην
Πάντες ὁμῶς καλέουσι· σὺ δ' Ἀπόλλωνι παρίζεις.
Ἡνίκα δ' αἱ νύμφαι σε χορῷ ἔνι κυκλώσονται
Ἀγγόθι πηγάων Αἰγυπλίης Ἰνωποῖο,
Ἢ Πιτάνης (καὶ γὰρ Πιτάνη σέθεν), ἔποτ' ἐκεῖνον
Ἦλθε παρ' Ἥλιος καλὸν χορόν· ἀλλὰ θεῆται,
Δίφρον ἐπισήσας, τὰ δέ φάεα μηκύνονται.
Τίς δέ νύ τοι νήσων, ποῖον δ' ὄρος εὐάδε πλεῖον;
Τίς δὲ λιμὴν; ποίη δὲ πόλις; τίνα δ' ἔξοχα νυμφέων
Φίλαο, καὶ ποίας ἡρωΐδας ἔσχες ἑταίρας;
Εἰπὲ, θεὰ, σὺ μὲν ἄμμιν, ἐγὼ δ' ἑτέροισιν ἀείσω.
Νήσων μὲν Δολίχη, πολίων δέ τοι εὐάδε Πέργη,
Τηΰγεϊον δ' ὀρέων, λιμένες γε μὲν Εὐρίπαιο.

165. Ἰνωποῖο.] Ἰνωπὸς, ποταμὸς Δήλ. Αἰγύπλιος δὲ, ὅτι λεγέται τῷ ὕδατι τῷ Νείλῳ μετέχειν λαθραίως. *Schol.* Inopus enim eodem modo ac tempore quo Nilus inundat decrescitque. Plin. ii. 103, unde Hymn. in Del.

Ἴζετο δ' Ἰνωποῖο παρὰ ῥόον, ὅντε βάθιστον
Γαῖα τοτ' ἐξανίησιν, ὅτε πλήθοντι ῥεέθρῳ
Νείλῳ ἀπὸ κρημνοῖο κατέρχεται Αἰθιοπῆϊ.

166. Πιτάνης.] Πιτάνη πόλις Μακεδονίας. *Schol.*

172. Δολίχη.] Doliche insula Sporadum, ante Macris et Ichthyoëssa cognominata est; postea Icarus dicta, cum duobus oppidis, tertio amisso. Plin. iv. 12.

Ibid. Πέργη.] Μητρόπολις Παμφυλίας. *Schol.*

173. Τηΰγετον.] Ὄρος Λακεδαίμονος.

Ibid. Εὐρίπαιο.] Εὔριπος ἐ μεταξὺ Εὐβοίας καὶ Βοιωτίας ξῦς. *Schol.*

174. Γορτυνίδα.] Κρητικὴν· ἀπὸ τόπου. *Schol.*

Ἔξοχα δ' ἀλλάων Γορτυνίδα φίλαο νύμφην,
Ἐλλοφόνον Βριτόμαρτιν, ἐΰσκοπον· ἧς ποτὲ Μίνως
Πτοιηθεὶς ὑπ' ἔρωτι κατέδραμεν ὄρεα Κρήτης.
Ἡ δ' ὁτὲ μὲν λασίῃσιν ὑπὸ δρυσὶ κρύπτετο νύμφη,
Ἄλλοτε δ' εἰαμενῇσιν· ὁ δ' ἐννέα μῆνας ἐφοίτα
Παίπαλά τε κρημνούς τε· καὶ οὐκ ἀνέπαυσε διωκτὺν,
Μέσφ' ὅτε μαρπτομένη καὶ δὴ σχεδὸν, ἥλατο πόντον
Πρηόνος ἐξ ὑπάτοιο· καὶ ἔνθορεν εἰς ἁλιήων
Δίκτυα, τά σφ' ἐσάωσεν· ὅθεν μετέπειτα Κύδωνες
Νύμφαν μὲν, Δίκτυνναν, ὄρος δ', ὅθεν ἥλατο νύμφη,
Δικταῖον καλέουσιν· ἀνεςήσαντο δὲ βωμούς.
Πότνια, πουλυμέλαθρε, πολύπτολι, χαῖρε, Χιτώνη,
Μιλήτῳ ἐπίδημε· σὲ γὰρ ποιήσατο Νηλεὺς
Ἡγεμόνην, ὅτε νηυσὶν ἀνήγετο Κεκροπίηθεν·
Χησιὰς, Ἰμβρασίη, πρωτόθρονε· σοὶ δ' Ἀγαμέμνων
Πηδάλιον νηὸς σφετέρης ἐγκάτθετο νηῷ,
Μείλιον ἀπλοΐης, ὅτε οἱ κατέδησας ἀήτας,

175. Ἐλλοφόνον.] Νεβροκτόνον. *Schol.*

Ibid. Βριτόμαρτιν.] Βριτόμαρτις, ὄνομα κύριον τῆς νύμφης· ἀφ' ἧς καὶ ἡ Ἄρτεμις ἐν Κρήτῃ Βριτόμαρτις τιμᾶται. *Schol.*

187. Μιλήτῳ.] Miletus illustris Cariæ civitas, ab Ionibus duce Neleo condita, patria Thaletis. *Frisch.*

189. Χησιὰς, Ἰμβρασίη.] Χήσιον, ἀκρωτήριον τῆς Σάμου· καὶ Ἴμβρασος, ποταμὸς τῆς Σάμου. *Schol.*

Ibid. Σοὶ δ' Ἀγαμέμνων.] Strabo lib. xiv. Agamemnonem refert Munychiæ Dianæ, non procul ab Epheso, in oppido cui Pygela nomen fuit, templum condidisse. Pausanias in Atticis scribit, Agamemnonem Dianæ templum erexisse, quùm ad Calchantem, qui Megaris habitabat, venisset, ei, ut se bellum Trojanum sequeretur, persuasurus. *Frisch.*

Τεύκρων

Digitized by Google

Τεύκρων ἡνίκα νῆες Ἀχαιΐδες ἄρεα κήδειν
Ἔπλεον, ἀμφ' Ἑλένῃ Ῥαμνησίδι θυμωθεῖσαι.
Σοὶ καὶ Ἀμαζονίδες, πολέμῳ ἐπιθυμήτειραι,
Ἔν κοίλῃ παρὰ λίμνῃ Ἐφέσου βρέτας ἱδρύσαντο
Φηγῷ ὑπὸ τρέμνῳ. τέλεσεν δέ τοι ἱερὸν Ἱππώ.
Αὐταὶ δ', Οὔπι ἄνασσα, περὶ πρύλιν ὠρχήσαντο,
Πρῶτα μὲν ἐν σακέεσσιν ἐνόπλιον, αὖθι δὲ κύκλῳ
Στησάμεναι χορὸν εὐρύν· ὑπήεισαν δὲ λίγειαι
Λεπταλέαν σύριγγες, ἵνα πλίσσωσιν ὁμαρτῇ.
(Οὐ γάρ πω νέβρεια δι' ὀσέα τετρήνοιτο,
Ἔργον Ἀθηναίης, ἐλάφῳ κακόν) ἔδραμε δ' ἠχὼ
Σάρδιας, ἐς τε νομὸν Βερεκύνθιον· αἱ δὲ πόδεσσιν
Οὔλα κατεκροτάλιζον, ἐπεψόφεον δὲ φαρέτραι.
Κεῖνο δέ τοι μετέπειτα περὶ βρέτας εὐρὺ θέμεθλον
Δωμήθη· τὸ δ' ἔτι θεώτερον ὄψεται ἠώς,
Οὐδ' ἀφνειότερον· ῥέα κεν Πυθῶνα παρέλθοι.

193. Ῥαμνησίδι.] Ῥαμνοῦς, δῆμος Ἀττικῆς, ἔνθα τῇ Νεμέσει ὁ Ζεὺς συνεκαθεύδησεν· ἥτις ἔτεκεν ὠόν. ὅπερ εὑροῦσα ἡ Λήδα ἐθέρμανεν, καὶ ἐξέβαλε τοῦς Διοσκούρους καὶ τὴν Ἑλένην. *Schol.*

196. Ἱππώ.] Μία τῶν Ἀμαζόνων. *Schol.*

197. Οὔπι.] Diana ita dicta est vel ab ὁμίζεσθαι τὰς τίκλουσας, vel παρὰ τὴν θρέψασαν αὐτὴν Οὔπιν, vel ex Hyperboreâ puellâ Οὔπις. *Schol.* Τὴν Ἄρτεμιν Θρᾷκες Βενδίδαν. Κρῆτες δὲ Δίκτυναν, Λακεδαιμόνιοι δὲ Οὔπιν. *Palaeph.*

201. Οὐ γάρ πω νέβρεια.] Ex cervinis et hinnulorum ossibus olim tibiæ parabantur, ut ex Acharnensibus Aristophanis patet. *Frischl.* Unde, apud Propertium, iv. 3,

Occidat, immeritâ qui carpsit ab arbore vallum,
Et struxit querulas rauca per ossa tubas.

202. Ἔργον Ἀθηναίης.] Ἀθηνᾶ γὰρ ἔφορος πάσης τέχνης. *Schol.*

203. Βερεκύνθιον.] Μεταξὺ Λυδίας καὶ Φρυγίας. *Schol.*

Τῷ

Τῷ ῥα καὶ ἠλαίνων ἀλαπαζέμεν ἠπείλησε
Λύγδαμις ὑβριστὴς· ἐπὶ δὲ στρα[τὸν ἱππημολγῶν
Ἤγαγε Κιμμερίων, ψαμάθῳ ἴσον, οἵ ῥα πάρ' αὐτὸν
Κεκλιμένοι ναίεσι βοὸς πόρον Ἰναχιώνης.
Ἀ δειλὸς βασιλέων, ὅσον ἤλιτεν! ὃ γὰρ ἔμελλεν
Οὔτ' αὐτὸς Σκυθίηνδε παλιμπετὴς, ὅτε τις ἄλλος
Ὅσσων ἐν λειμῶνι Καϋστρίῳ ἔσαν ἄμαξαι,
Νοστήσειν· Ἐφέσῳ γὰρ ἀεὶ τεὰ τόξα πρόκειται.
Πότνια Μενυχίη, λιμενοσκόπε, χαῖρε Φεραίη.
Μή τις ἀτιμήσῃ τὴν Ἄρτεμιν· ὐδὲ γὰρ Οἰνεῖ
Βωμὸν ἀτιμάσαντι καλοὶ πόλιν ἦλθον ἀγῶνες.
Μηδ' ἐλαφηβολίην, μηδ' εὐσοχίην ἐριδαίνειν.

208. Ἠλαίνων.] Μαραίνων. *Schol.*

209. Λύγδαμις.] Cimmerios ſæpe invaſiſſe Ioniam, et Aſiam Minorem aliquantiſper tenuiſſe, Herodotus lib. i. et iv. teſtatur, quos tandem a Scythis illinc expulſos eſſe refert. Strabo item lib. i. Lygdamis et Cymmeriorum meminit. Sunt autem Cimmerii populi Septentrionales, ad Boſporum ponti Euxini fretum habitantes. *Friſch.*

211. Βοὸς πόρον.] Τῆς Ἰοῦς, τῆς εἰς βοῦν μεταμορφωθείσης. Βόσπορος δὲ εἰσὶ δύο, ὅ, τε τῶ Βυζαντίου, καὶ ὁ Κιμμέριος. *Schol.*

214. Καϋστρίῳ.] Cayſter, amnis Ioniæ celeberrimus juxta Epheſum. *Friſch.*

216. Μενυχίη.] Μενύχιον γάρ ἐστι μέρος τῆς Πειραιῶς, τῆς λιμένος τῶν Ἀθηνῶν. *Schol.*

Ibid. Φεραίη.] Diana Pheræa dicta à Pheris, civitate Theſſaliæ. Pherææ verò Dianæ, ut Pauſanias in Corinth. ſcribit, tam apud Sicyonios quam apud Athenienſes, ſignum fuit. *Friſch.*

217. Οἰνεῖ.] Oeneus, Calydonis rex, cui ob ſacra neglecta Diana bellum concitavit, aprumque poſtea ac bellum immiſit; unde nota de Meleagro Hiſtoria.

Οὐδὲ

Οὐδὲ γὰρ Ἀτρείδης ὀλίγῳ ἐπεκόμπασε μισθῷ.
Μ. δ' ἔτνα μνᾶσθαι τὴν παρθένον· οὐδὲ γὰρ Ὦτος,
Οὐδὲ μὲν Ὠαρίων ἀγαθὸν γάμον ἐμνήσευσαν.
Μηδὲ χορὸν φεύγειν ἐνιαύσιον· οὐδὲ γὰρ Ἴππῳ
Ἀκλαυτεὶ περὶ βωμὸν ἀπείπαλο κυκλώσασθαι.
Χαῖρε, μέγα κρείσσα, καὶ εὐάντησον ἀοιδῇ.

Ἐκ τῦ ΥΜΝΟΥ εἰς τὴν ΔΗΛΟΝ.

ΤΗΝ ἱερὴν, ὦ Θυμὲ, τίνα χρόνον ἢ πότ' ἀείσεις
Δῆλον, Ἀπόλλωνος κυροτρόφον; ἦ μὲν ἅπασαι
Κυκλάδες, αἳ νήσων ἱερώταται εἰν ἁλὶ κεῖνται,
Εὔυμνοι· Δῆλος δ' ἐθέλει τὰ πρῶτα φέρεσθαι
Ἐκ Μουσέων, ὅτι Φοῖβον ἀοιδάων μεδέοντα
Λῦσέ τε καὶ σπείρωσε, καὶ ὡς θεὸν ἤνεσε πρώτη.
Ὡς Μῶσαι τὸν ἀοιδὸν, ὃ μὴ Πίμπλειαν ἀείσει,
Ἔχθουσιν, τὼς Φοῖβος, ὅτις Δήλοιο λάθηται.
Δήλῳ νῦν οἵμης ἀποδάσσομαι, ὡς ἂν Ἀπόλλων
Κύνθιος αἰνήσῃ με φίλης ὁλέγουλα τιθήνης.
Κείνη δ' ἠνεμόεσσα καὶ ἄτροπος, οἷά θ' ἁλιπλήξ,

220. Ἀτρείδης.] Qui capream in luco Dianæ ad Aulidem jaculatus, iram Deæ commotam sibi intulit.

221. Ὦτος.] Otus et Ephialtes Alœi et Iphimedæ filii, Dianæ vitium inferre conati, in Naxo Insulâ perempti sunt. *Frisch.*

222. Ὠαρίων.] *Integræ Tentator Orion Dianæ.* Hor.

7. Πίμπλειαν.] Ὄρος Θρᾴκης, ἱερὸν Μουσῶν. *Schol.*

11. Ἄτροπος.] Alii interpretantur ἄσειστος, ἀκίνητος. Thucydides magnum terræ motum describens, tantum esse ait, ut etiam concuteretur

Αἰθυίης καὶ μᾶλλον ἐπίδρομος ἠέπερ ἵπποις,
Πόντῳ ἐνεχήρικται· ὁ δ' ἀμφί ἑ πυκλὺς ἑλίσσων,
Ἰκαρίῃ πολλὴν ἀπομάσσεται ὕδατος ἀχνην·
Τῷ σφε καὶ ἰχθυβολῆες ἀλίπλοοι ἐννάσσαιλο.
Ἀλλά οἱ ἐ νεμεσηθὲν ἐνὶ πρώτῃσι λέγεσθαι,
Ἄλλαι μὲν πύργοισι περισκεπέεσσιν ἐρυμναὶ,
Δῆλος δ' Ἀπόλλωνι· τί δὲ γιγαρώτερον ἔρκος;
Τείχεα μὲν καὶ λᾶες ὑπαὶ ῥιπῆς κε πέσοιεν
Στρυμονίῃ Βορέαο· θεὸς δ' αἰεὶ ἀσυφέλικτος.
Δῆλε φίλη, τοῖός σε βοηθόος ἀμφιβέβηκεν.
Εἰ δ' ὀλιγοπελέες σε περιπροχόωσιν ἀοιδαὶ,
Ποίῃ ἐνιπλέξω σε; τί τοι θυμῆρες ἀκούσω;
Ἢ ὡς ταπρώτιστα μέγας θεὸς ἤρατο θείνων
Ἀορι τριγλώχινι, τό οἱ Τελχῖνες ἔτευξαν,
Νήσους εἰναλίας εἰργάζελο· νέρθε δὲ πάσας

concuteretur Delos. Alii, qui et rectiùs interpretari videntur, ἀγιώργητον, ᾗ μὴ τριπομένη ᾗ μεταβάλλομένη ἐν τῷ ἀρᾶσθαι· τραχεῖα γάρ. Deli sterilitatem memorat Homerus in Hymn.

20. Στρυμονίῃ.] Στρυμὼν ποταμός ἐστι ᾗ πόλις Θρᾴκης. *Schol.*

21. Ἀμφιβέβηκεν.] Non absimilis locus Psalm. David. cxxv. 2.

24. Ὡς ταπρώτιστα.] Λέγεται γὰρ ὅτι ὁ Ποσειδῶν τῇ τριαίνῃ ἀποσκῶν τῆς χέρσου τὰς νήσους ἐποίει. *Schol.*

25. Τελχῖνες.] Cyclopes. *Frisch.* Alii Telchines esse dicunt populum Rhodi, qui eò ex Cretâ profecti, Jalysum urbem incolebant: quorum memorat Ovidius in Metam.

——————Jalysios Telchinas,
Quorum oculos ipso mutantes omnia visu
Jupiter exosus, fraternis subdidit undis.

Malefici homines fuisse ii perhibentur, aspectu solo omnia fascinantes. *Hesych.* et *Suidas.* Τελχῖνες, βάσκανοι, γόητες, φθονεροί.

Ex

Ἐκ νεάτων ὤχλισσε καὶ εἰσεκύλισσε θαλάσσῃ·
Καὶ τὰς μὲν κατὰ βένθος, ἵν' ἠπείροιο λάκωνται,
Πρυμνόθεν ἐῤῥίζωσε· σὲ δ' οὐκ ἔθλιψεν ἀνάγκη,
Ἀλλ' ἄφετος πελάγεσσιν ἐπέπλεες· οὔνομα δ' ἦν σοι
Ἀςερίη τὸ παλαιὸν, ἐπεὶ βαθὺν ἥλαο τάφρον
Οὐρανόθεν, φεύγουσα Διὸς γάμον, ἀςέρι ἴση.
Τόφρα μὲν οὔπω σοὶ χρυσέη ἐπεμίσγετο Λητὼ,
Τόφρα δ' ἔτ' Ἀςερίη σὺ, καὶ οὐδέ πω ἔκλεο Δῆλος.
Πολλάκι σ' ἐκ Τροιζῆνος, ἁλιξάντοιο πολίχνης,
Ἐρχόμενοι Ἐφύρηνδε, Σαρωνικοῦ ἔνδοθι κόλπου
Ναῦται ἐνεσκέψαντο· καὶ ἐξ Ἐφύρης ἀνιόντες,
Οἱ μὲν ἔτ' οὐκ ἴδον αὖθι· σὺ δὲ ςεινοῖο παρ' ὀξὺν
Ἔδραμες Εὐρίποιο πόρον καναχηδὰ ῥέοντος.
Χαλκιδικῆς δ' αὐτῆμαρ ἀνηναμένη ἁλὸς ὕδωρ
Μέσφ' ἐς Ἀθηναίων προενήξαο Σούνιον ἄκρον.
Ἡνίκα δ' Ἀπόλλωνι γενέθλιον οὖδας ὑπέσχες,
Τοῦτο τοι ἀντημοιβὸν ἁλίπλοοι οὔνομ' ἔθεντο,
Οὕνεκεν οὐκέτ' ἄδηλος ἐπέπλεες, ἀλλ' ἐνὶ πόντου
Κύμασιν Αἰγαίοιο ποδῶν ἐνεθήκαο ῥίζας.
Οὐδ' Ἥρην κοτέουσαν ὑπέτρεσας· ἡ μὲν ἁπάσαις
Δεινὸν ἐπεβρωμᾶτο λεχωΐσιν, αἳ Διὶ παῖδας
Ἐξέφερον· Λητοῖ δὲ διακριδὸν, οὕνεκα μούνη

35. Πάνθοιο.] Ἀπό τινος Πάνθου βασιλεύσαντος Τροιζῆνος. *Schol.*
40. Χαλκιδικῆς.] Χαλκὶς, πόλις Εὐβοίας. *Schol.*
41. Σούνιον.] Ἀκρωτήριον τῆς Ἀττικῆς. *Schol.*
43. Ἀντημοιβόν.] Si dici posset ἀντιαμοιβὸν, hic ponendum censerem. *H. Steph.*

Ζηνὶ τεκεῖν ἤμελλε φιλαίτερον Ἄρεος υἷα.
Τῷ ῥα καὶ αὐτὴ μὲν σκοπιὴν ἔχεν αἰθέρος εἴσω,
Σπερχομένη μέγα δή τι καὶ ὐ φατόν· εἶργε δὲ Λητὼ
Τειρομένην ὠδῖσι· δύω δέ οἱ εἵατο φρυροὶ
Γαῖαν ὀπωπεύοντες, ὁ μὲν πέδον ἠπείροιο,
Ἥμενος ὑψηλῆς κορυφῆς ἔπι Θρηΐκος Αἵμε,
Θῶρος Ἄρης ἐφύλασσε σὺν ἔντεσι· τῷ δέ οἱ ἵππω
Ἐπλάμυχον Βορέαο παρὰ σπέος ηὐλίζοντο.
Ἡ δ' ἐπὶ νησάων ἑτέρη σκοπὸς εὐρειάων
Ἦσο, κόρη Θαύμαντος, ἐπαΐξασα Μίμαντι.
Ἔνθ' οἱ μὲν πολίεσσιν, ὅσαις ἐπεβάλλετο Λητὼ,
Μίμνον ἀπειλητῆρες, ἀπετρώπων δὲ δέχεσθαι.
Ἀλλ' ὅτ' Ἀχαιιάδες μιν ἀπηρύσαντο πόλης,
Ἄψ ἐπὶ Θεσσαλίην πόδας ἔτρεπε· φεῦγε δ' Ἀναύρος,
Καὶ μεγάλη Λάρισσα, καὶ αἱ Χειρωνίδες ἄκραι·
Φεῦγε δὲ καὶ Πηνειὸς, ἑλισσόμενος διὰ Τεμπέων.
Ἥρη, σοί δ' ἔτι τῆμος ἀνηλεὲς ἦτορ ἔκειτο.
Οὐδὲ κατεκλάσθης τε καὶ ὤκλισας, ἡνίκα πῆχεις
Ἀμφοτέρους ὀρέγουσα, μάτην ἐφθέγξατο τοῖα.
Νύμφαι Θεσσαλίδες, ποταμοῦ γένος, εἴπατε πατρὶ
Κοιμῆσαι μέγα χεῦμα· περιπλέξασθε γενείῳ,

51. Σπερχομένη.] Ὀργιζομένη. *Schol.*
56. Ἐπλαμυχον.] Πολύμυχον. *Schol.*
57. Νησάων.] Παραλόγως ἔχει τὴν διαίρεσιν· ὐ γὰρ ἀπὸ τῶν εἰς α ἐστίν. *Schol.*
58. Κόρη.] ἡ Ἶρις. *Schol.*
Ibid. Μίμαντι.] Ὄρος Χίου. *Schol.*
63. Χειρωνίδες.] Τὸ Πήλιον, ὄρος τῆς Θεσσαλίας, διὰ τὸ τὸν Χείρωνα ἐκεῖ οἰκῆσαι. *Schol.*

Λισσόμενοι

Λισσόμεναι τὰ Ζηνὸς ἐν ὕδατι τέκνα τεκέσθαι.
Πηνειὲ Φθιῶτα, τί νῦν ἀνέμοισιν ἐρίζεις;
Ἦ ῥά τοι ὧδ' αἰεὶ ταχινοὶ πόδες, ἢ ἐπ' ἐμεῖο
Μοῦνοι ἐλαφρίζουσι; πεποίησαι δὲ πέτεσθαι
Σήμερον ἐξαπίνης; ὅδ' ἀνήκοος. ὦ ἐμὸν ἄχθος,
Ποῖ σε φέρω; μέλεοι γὰρ ἀπειρήκασι τένοντες.
Πήλιον ὦ Φιλύρης νυμφήϊον, ἀλλὰ σὺ μεῖνον·
Μεῖνον, ἐπεὶ καὶ θῆρες ἐν οὔρεσι πολλάκι σεῖο
Ὠμοτόκους ὠδῖνας ἀπηρείσαντο λέαιναι.
Τὴν δ' ἄρα καὶ Πηνειὸς ἀμείβετο δάκρυα λείβων·
Λητοῖ, Ἀναγκαίη μεγάλη θεός· οὐ γὰρ ἔγωγε,
Πότνια, σὰς ὠδῖνας ἀναίνομαι· οἶδα καὶ ἄλλας
Λουσαμένας ἀπ' ἐμεῖο λεχωΐδας· ἀλλά μοι Ἥρη
Δαψιλὲς ἠπείλησεν· ἀπαύγασαι οἷος ἔφεδρος
Οὔρεος ἐξ ὑπάτου σκοπιὴν ἔχει, ὅς κ' ἐμὲ ῥεῖα
Βυσσόθεν ἐξερύσειε· τί μήσομαι; ἢ ἀπολέσθαι
Ἡδύ τί τοι Πηνειόν;—ἴτω· πεπρωμένον ἦμαρ
Τλήσομαι εἵνεκα σεῖο, καὶ εἰ μέλλοιμι, ῥοάων
Διψαλέην ἄμπωτιν ἔχων, αἰώνιον ἔῤῥειν,
Καὶ μόνος ἐν ποταμοῖσιν ἀτιμότατος καλέεσθαι.
Ἠνιδ' ἐγώ· τί περισσά; κάλει μόνον Εἰλήθυιαν·
Εἶπε, καὶ ἠρώησε μέγαν ῥόον· ἀλλά οἱ Ἄρης
Παγγαίου προθέλυμνα καρήατα μέλλεν ἀείρας
Ἐμβαλέειν δίνῃσιν, ἀποκρύψειν δὲ ῥέεθρα.

76. Φιλύρης.] Ἐν γὰρ τῷ Πηλίῳ ὁ Κρόνος τῇ Φιλύρᾳ μιγεὶς, γεννᾷ τὸν Χείρωνα. *Schol.*

90. Περισσά.] Λείπει τὸ φθέγγομαι. *Schol.*

92. Παγγαίου.] Ὄρος Θράκης. *Schol.*

Ὑψόθε δ' ἐσμαράγησε, καὶ ἀσπίδα τύψεν ἀκωκῇ
Δούρατος· ἡ δ' ἐλέλιξεν ἐνόπλιον· ἔτρεμε δ' Ὄσσης
Οὔρεα, καὶ πεδίον Κρανώνιον, αἵ τε δυσαεῖς
Ἐσχατιαὶ Πίνδοιο· φόβῳ δ' ὠρχήσατο πᾶσα
Θεσσαλίη· τοῖος γὰρ ἀπ' ἀσπίδος ἔβραχεν ἦχος.
Ὡς δ' ὁπότ' Αἰτναίου ὄρεος πυρὶ τυφομένοιο
Σείονται μυχὰ πάντα, κατουδαίοιο γίγαντος
Εἰς ἑτέρην Βριαρῆος ἐπωμίδα κινυμένοιο,
Θερμαυςραί τε βρέμουσιν ὑφ' Ἡφαίςοιο πυράγρης,
Ἐργά θ' ὁμοῦ, δεινὸν δὲ πυρίκμητοί τε λέβητες
Καὶ τρίποδες πίπτοντες ἐπ' ἀλλήλοις ἰαχεῦσι·
Τῆμος ἔγεντ' ἄραβος σάκεος τόσος εὐκύκλοιο.
Πηνειὸς δ' οὐκ αὖθις ἐχάζετο, μίμνε δ' ὁμοίως
Καρτερὸς, ὡς ταπρῶτα, θοὰς δ' ἐςήσατο δίνας,
Εἰσόκε οἱ Κοιηῒς ἐκέκλετο· Σώζεο χαίρων,
Σώζεο· μὴ σύγ' ἐμεῖο παθῃς κακὸν εἵνεκα, τῆςδε
Ἀντ' ἐλεημοσύνῃς· χάριτος δέ τοι ἔσσετ' ἀμοιβή.
Ἦ, καὶ πολλὰ πάροιθεν ἐπεὶ κάμεν, ἔςιχε νήσους
Εἰναλίας· αἱ δ' οὔ μιν ἐπερχομένην ἐδέχοντο.
Ἀςερίη φιλόμολπε, σὺ δ' Εὐβοίηθε κατῄεις
Κυκλάδας ὀψομένη περιηγέας, οὔ τι παλαιὸν,
Ἀλλ' ἔτι τοι μετόπισθε Γεραίςιον εἵπετο φῦκος·
Ἔςης δ' ἐν μέσσῃσι· κατοικτείρασα δὲ Λητὼ,

96. Κρανώνιον.] Cranon urbs Theſſaliæ. *Friſch.*
108. Κοιηῒς.] Κοίου γὰρ καὶ Φοίβης θυγάτηρ Λητώ. *Schol.*
115. Γεραίςιον.] Γεραιςὸς ἀκρωτήριον Εὐβοίας. *Schol.*

Φῦκον

Ηρη αὐτίκ' ἔλεξας, ἐπεὶ περὶ καίεο κῆρι,
Τλήμον' ὑπ' ὠδίνεσσι βαρυνομένην ὁρόωσα·
Ἥρη, τῆτό με ῥέξον, ὅ τοι φίλον· ἐ γὰρ ἀπειλὰς
Ὑμετέρας ἐφύλαξα· πέρα, πέρα εἰς ἐμέ, Λητοῖ·
Ἔννεπες· ἡ δ' ἅμα ῥητῷ ἄλης ἀπεπαύσατο λυγρῆς·
Ἵζετο δ' Ἰνωποῖο παρὰ ῥόον, ἄντε βάθισεν
Γαῖα τότ' ἐξανίησιν, ὅτε πλήθοντι ῥεέθρα
Νείλος ἀπὸ κρημνοῖο κατέρχεται Αἰθιοπῆος.
Λύσατο δὲ ζώνην, ἀπὸ δ' ἐκλίθη ἔμπαλιν ὤμοις
Φοίνικος ποτὶ πρέμνον, ἀμηχανίης ὑπὸ λυγρῆς
Τειρομένη· νάτιος δὲ διὰ χροὸς ἔρρεεν ἱδρώς.
Εἶπε δ' ἀλυσθαίνουσα, Τί μητέρα, κῦρε, βαρύνεις;

117. Vulgò legitur, Κατίφλιξας, ἐπεὶ περικαίεο πυρὶ.] Callimachi quidam editor hunc locum ita corrigit: Κατίνησας, vel κατίφρυξας, ἐπεὶ περὶ καίεο κῆρι. Cujus emendationis alterum partem, κῆρι, accipit, alterum κατίφρυξας rejicit Ric. Dawes, et versum sic legi velit:

Φῦκος ἄπαν κατίφλιξας, ἐπεὶ περὶ δαίεο κῆρι.

Δαίομαι apud Homerum significat *præ misericordiâ flagro*. "Ego "vero dicam, cur Asterie algam exureret. Obstabat nimirum "alga, quæ insulam abundè secuta fuerat, quo minùs Latona "ad terram ratim appellerat Hoc incommodo laborantis Deæ "commiserata Asterie, ei algâ exustâ copiam fecit optatâ arenâ "potiundi." *Miscell. Crit.* p. 108.

126. Φοίνιχος.] Palma in Delo omnium arborum vetustissima fuit, quæ multis sæculis, religione patrum servata, in illâ insulâ floruit. Cicero in 1. de leg. in Delo eam vidisse se profitetur. Plinius eandem meminit, lib. xvi. cap. ultimo. Pausanias quoque in Arcadicis. Eam ante Homeri tempora viguisse ex Odyss. lib. vi intelligitur. *Frisch.*

128. Ἀλυσθαίνουσα.] Πνιγιῶσα, ἀσθμαίνουσα. *Schol.*

Αὖτη

Λῦτη τοι, φίλε, νῆσος ἐπιπλώουσα θαλάσσῃ.
Γείνεο, γείνεο, κῦρε, καὶ ἵππιος ἔξιθι κόλπου.
Ἡ μὲν ἔφη· κύκνοι δὲ θεῦ μέλποντες ἀοιδοὶ
Μηόνιον Πακτωλὸν ἐκυκλώσαντο λιπόντες
Ἑβδομάκις περὶ Δῆλον· ἐπήεισαν δὲ λοχείῃ
Μουσάων ὄρνιθες, ἀοιδότατοι πετεηνῶν.
Ἔνθεν ὁ παῖς τοσσάζδε λύρῃ ἐνεδήσατο χορδὰς
Ὕστερον, ὁσσάκι κύκνοι ἐπ' ὠδίνεσσιν ἄεισαν.
Ὄγδοον οὐκ ἔτ' ἄεισαν, ὁ δ' ἔκθορεν· αἱ δ' ἐπὶ μακρὸν
Νύμφαι Δηλιάδες, ποταμοῦ γένος ἀρχαίοιο,
Εἶπαν Ἐληθυίης ἱερὸν μέλος· αὐτίκα δ' αἰθὴρ
Χάλκεος ἀντήχησε διαπρυσίην ὀλολυγήν.
Οὐδ' Ἥρη κεμέσησεν, ἐπεὶ χόλον ἐξέλετο Ζεύς.
Χρύσεά τοι τότε πάντα θεμείλια γείνετο, Δῆλε,
Χρυσῷ δὲ τροχόεσσα πανήμερος ἔρρεε λίμνη,
Χρύσιον δ' ἐκόμησε γενέθλιον ἔρνος ἐλαίης·
Χρυσῷ δ' ἐπλήμμυρε βαθὺς Ἰνωπὸς ἐλιχθείς.
Αὐτὴ δὲ χρυσέοιο ἀπ' ἔδρεος εἵλεο παῖδα,
Ἐν δ' ἐβάλευ κόλποισιν· ἔπος δ' ἐφθέγξαο τοῖον·
Γῆ μεγάλη, πολύβωμε, πολύπτολι, πολλὰ φέρουσα,
Πίσυνε ἠπειροί τε, καὶ αἱ περιναίετε νῆσοι,
Αὐτὴ ἐχὼ τοιήδε δυσήροτος· ἀλλ' ἀπ' ἐμεῖο
Δήλιος Ἀπόλλων κεκλήσεται· οὐδέ τις ἄλλη
Γαιάων τοσσόνδε θεῷ πεφιλήσεται ἄλλῳ·

143. Λίμνη.] Ἡ θάλασσα, διὰ τὸ περιτρέχειν κύκλῳ τὴν νῆσον. ἢ (quod potius) λίμνη τὶς ἐν Δήλῳ περιφερής. *Schol.*

148. Ὦ μεγάλη.] Πρὸς τὴν γῆν λέγει πᾶσαν. *Schol.*

Οὐ

Οὐ Κερχνὶς κρείοντι Ποσειδάωνι Λεχαίῳ,
Οὐ πάγος Ἑρμείῃ Κυλλήνιος, ὐ Διὶ Κρήτῃ,
Ὡς ἐγὼ Ἀπόλλωνι· κ̣ὶ ἔσσομαι ὐκ ἔτι πλαγκτή.
Ὧδε σὺ μὲν κατέλεξας· ὁ δὲ γλυκὺν ἔσπασε μαζόν.
Τῷ καὶ νησάων ἁγιωτάτη ἐξέτι κείνῳ
Κλήζῃ, Ἀπόλλωνος κυροτρόφος· ὐδέ σ' Ἔνυὼ,
Οὐδ' Αἴδης, ὐδ' ἵπποι ἐπιςείβυσιν Ἄρηος·
Ἀλλά τοι ἀμφιετεῖς δεκατηφόροι αἰὲν ἀπαρχαὶ
Πέμπονται· πᾶσαι δὲ χορὺς ἀνάγυσι πόληες,
Αἵ τε πρὸς ἠοίην, αἵ θ' ἕσπερον, αἵ τ' ἀνὰ μέσσην
Κλήρυς ἐςήσαντο, καὶ οἳ καθύπερθε Βορείης
Οἰκία θινὸς ἔχυσι, πολυχρονιώτατον αἷμα.
Ἀςερίη θυόεσσα, σὲ μὲν περί τ' ἀμφί τε νῆσοι
Κύκλον ἐποιήσαντο, καὶ ὡς χορὸν ἀμφεβάλοντο·
Οὔτε σιωπαλὴν, ὔτ' ἄψοφον ὖλος ἐθείραις
Ἕσπερος ἀλλ' αἰεί σε καταβλέπει ἀμφιβόητον.
Ἀςερίη πολύβωμε, πολύλλιτη, τίς δέ σε ναύτης
Ἔμπορος Αἰγαίοιο παρήλυθε νηῒ θεύσῃ;
Οὐχ ὕτω μεγάλοι μιν ἐπιπνείυσιν ἀῆται,
Χρειὼ δ' ὀττιτάχιςον ἄγει πλόον· ἀλλὰ τὰ λαίφη

153. Λεχαίῳ.] Λέχαιον (promontorium Isthmi) κ̣ὶ Κερχνὶς (in sinu Corinthiaco) ἐςὶν ἀκρωτήρια, ἔνθα ὁ Ποσειδῶν τιμᾶται. *Schol.*

159. Οὐδ' Αἴδης.] Ne quis in Delo moreretur, neu qua mulier pareret, edicto caverunt Athenienses. Ægroti in vicinam insulam Rheneam deportabantur, ibique mortui sepeliebantur, auctore Thucydide.

161. Πέμπονται.] Σὺν πομπῇ, solenniter, rite mittuntur.

167. Οὖλος ἐθείραις.] Ὁλόκληρος ταῖς θριξί· τυτέςι, λαμπρὸς ταῖς ἀκτῖσιν. *Schol.*

Ὠκέες

Ὠκέες ἐξείλαντο, καὶ ἐ πάλιν αὖτις ἔθησαν,
Πρὶν μέγαν ἢ σέο βωμὸν ὑπὸ πληγῇσιν ἑλίξαι
Ῥησσόμενοι, κ᾽ πρέμνον ὀδακ]άσαι ἀγνὸν ἐλαίης, 175
Χεῖρας ἀποσρέψαντας· ἃ Δηλιὰς εὕρετο νύμφη
Παίγνια κερίζοντι καὶ Ἀπόλλωνι γελασύν.
Ἰσίη ὦ νήσων, εὐέσιε, Χαῖρε μὲν αὐτὴ,
Χαίροι δ᾽ Ἀπόλλων τε, καὶ ἣν ἐλοχεύσατο Λητώ.

Ἐκ τοῦ ΥΜΝΟΥ εἰς ΛΟΥΤΡΑ τῆς ΠΑΛΛΑΔΟΣ.

ΟΣΣΑΙ λωτροχόοι τᾶς Παλλάδος, ἔξιτε πᾶσαι,
Ἔξιτε· τᾶν ἵππων ἄρτι φρυασσομέναν
Τᾶν ἱερᾶν ἐσάκευσα, καὶ ἁ θεὸς εὔτυκος ἕρπει·
Σεῦσθέ νυν, ὦ ξανθαὶ, σεῦσθε, Πελασγιάδες.

174. Βωμόν.] Ἐν Δήλῳ περὶ τὸν βωμὸν τοῦ Ἀπόλλωνος ἔθος ἦν τηχειν κ᾽ τύπλειν τὸν βωμὸν μάσιγι, κ᾽ ἀποδάκνειν ἐξηγκωνισμένες ἐκ τᾶς ἐλαίας. *Schol.*

178. Ἰσίη.] Κυρίως ὁ βωμὸς ὁ ἐν μέσῳ τῷ δόμῳ ἰσὼς· ἐπειδὴ ὁ Δῆλος ἐν μέσῳ τῶν Κυκλάδων ἔκειτο, διὰ τοῦτο ἰσία τὶς καὶ βωμὸς εἶναι. *Schol*

1. Doricè conscriptus est hic Hymnus: locus enim, in quo res ponitur, est Doricus. Δωρικὸν Ἄργος.

1 Ὄσσαι.] Ἐν τινι ἡμέρᾳ ὡρισμένῃ ἔθος εἶχον αἱ Ἀργεῖαι γυναῖκες λαμβάνειν τὸ ἄγαλμα τῆς Ἀθηνᾶς, καὶ ἄγειν ἐπὶ τὸν Ἰναχον, κἀκεῖ ἀποδύειν. *Schol.*

4. Σεῦσθε.] Ὁρμᾶτε. *Schol.*

Οὖ

Οὔ ποκ' Ἀθαναίᾳ μεγάλως ἀπενίψατο πάχεις,
Πρὶν κόνιν ἱππείαν ἐξελάσαι λαγόνων·
Οὐδ' ὅκα δὴ, λύθρῳ πεπαλαγμένα πάντα φέροισα
Τεύχεα, τῶν ἀδίκων ἦνθ' ἀπὸ γηγενέων.
Ἀλλὰ πολὺ πράτιστον ὑφ' ἅρματος αὐχένας ἵππων
Λυσαμένα, παγαῖς ἔκλυσεν Ὠκεανῷ
Ἰδρῷ καὶ ῥαθάμιγγας ἐφοίβασεν δὲ παγέντα
Πάντα χαλινοφάγων ἀφρὸν ἀπὸ γομάτων.
Ὤ ἴτ' Ἀχαιϊάδες· καὶ μὴ μύρα, μηδ' ἀλαβάστρως,
(Συρίγων αἰῶ φθόγγον ὑπαιόνιαν)
Μὴ μύρα λωτροχόοι τᾷ Παλλάδι, μηδ' ἀλαβάστρως,
(Οὐ γὰρ Ἀθαναίᾳ χρίματα μικὰ φιλεῖ)
Οἴσετε, μὴ δὲ κάτοπτρον· ἀεὶ καλὸν ὄμμα τὸ τήνας.
Οὐδ' ὅκα τὰν Ἴδαν Φρυὶξ ἐδίκαζεν ἔριν,
Οὐδ' ἐς ὀρείχαλκον μεγάλα θεὸς, ἁδὲ Σιμοέντος
Ἔβλεψεν δίναν ἐς διαφαινομέναν·
Οὐδ' Ἥρα Κύπρις δὲ διαυγέα χαλκὸν ἐλοῖσα,
Πολλάκι τὰν αὐτὰν δὶς μετέθηκε κόμαν.
Ἃ δὲ, δὶς ἐξήκοντα διαθρέξασα διαύλως,
Οἷα παρ' Εὐρώτα τοὶ Λακεδαιμόνιοι
Ἀσέρες, ἐμπεράμως ἐτρίψατο, λιτὰ λαβοῖσα
Χρίματα, τᾶς ἰδίας ἔκγονα φυταλιᾶς.

11. Ἐφοίβασεν.] Ἐκάθηρεν. *Schol.*
23. Δίαυλ.] Curſus in ſtadio duplex.
24. Εὐρώτα.] Ποταμὸς Λακεδαιμονίας. *Schol.*
Ibid. Λακεδαιμόνιοι.] Οἱ Διόσκουροι. *Schol.*
25. Λιτά.] Ἀσκεύαστα, ἄμικτα. *Schol.*

Ὦ κῶραι, τὸ δ' ἔρευθος ἀνέδραμε, πρωΐην οἵαν
Ἡ ῥόδον, ἢ σίδας κόκκος ἔχει χροΐαν.
Ἔξιθ', Ἀθαναίαν πάρα τοι κατὰθύμιος ἴλα,
Παρθενικαὶ, μεγάλων παῖδες Ἀκεσοριδᾶν.
Ἔξιθ', Ἀθαναίαν περσ[πό]λι, χρυσεοπήληξ,
Ἵππων καὶ σακέων ἀδομένα πατάγῳ.
Σάμερον ὑδροφόροι μὴ βάπτετε· σάμερον Ἄργος
Πίνετ' ἀπὸ κρανᾶν, μηδ' ἀπὸ τῶν ποταμῶν.
Σάμερον αἱ δῶλαι τὰς κάλπιδας ἢ 'ς Φυσάδειαν,
Ἢ ἐς Ἀμυμώνην οἴσετε τὰν Δαναῶ.
Καὶ γὰρ δὴ χρυσῷ τε καὶ ἄνθεσιν ὕδατα μίξας
Ἤξει φορβαίων Ἰναχος ἐξ ὀρέων,
Τᾷ θάνα τὸ λοετρὸν ἄγων καλόν. ἀλλὰ, Πελασγὲ,
Φράσδεο μὴ ἐκ ἐθέλων τὰν βασίλειαν ἴδῃς.
Ὅς κεν ἴδῃ γυμνὰν τὰν Παλλάδα τὰν πολιοῦχον,
Τῶργος ἐσοψεῖται τοῦτο πανυσάτιον.
Πότνι' Ἀθαναία, σὺ μὲν ἔξιθι· μέσφα δ' ἐγώ τι
Ταῖσδ' ἔρεω· μῦθος δ' ἐκ ἐμὸς, ἀλλ' ἑτέρων.
Παῖδες, Ἀθαναίᾳ νύμφαν μίαν ἔκ ποκα Θήβας

27. Πρωΐην.] Politianus πρωΐην jungit cum sequentibus; ita enim hunc locum vertit:

O pueræ, emicuit rubor illico, matutina
Quem rosa, quem grano Punica mala ferunt.

Ac malim certe eum in hâc re sequi, quam πρωΐην cum ἔρευθος jungere: ut interpunctio quæ est post πρωΐην, ponatur post ἀνέδραμε. *H. Steph.*

30. Παρθενικαὶ.] Φυλὴ ἐπίσημος ἐν Ἄργει. *Schol.*

35. Φυσάδεια.] Φυσάδεια καὶ Ἀμυμώνη, θυγάτερες Δαναοῦ, ὅθεν τὴν ὀνομασίαν ἔσχον αἱ κρῆναι. *Schol.*

Πυλᾶ

Πελύ τι καὶ περὶ δὴ φίλατο τᾶν ἑταρᾶν,
Ματέρα Τειρεσίαο, καὶ ἐ ποκα χωρὶς ἔγεντο·
Ἀλλὰ καὶ ἀρχαίων εὖτ' ἐπὶ Θεσπιέων,
Ἢ 'πὶ Κορωνείας, ἢ εἰς Ἀλίαρτον ἐλαύνοι
Ἵππως, Βοιωῶν ἔργα διερχομένα,
Πολλάκις ἀ δαίμων μιν ἐῷ ἐπεβάσατο δίφρῳ·
Οὐ δ' ὄαροι νυμφᾶν, οὐδὲ χοροσατίαι
Ἀδεῖαι τελέθεσκον, ὅτ' οὐχ ἀγεῖτο Χαρικλώ.
Ἀλλ' ἔτι καὶ τήναν δάκρυα πόλλ' ἔμενε,
Καίπερ Ἀθαναίᾳ καλαθύμιον εὖσαν ἑταίραν·
Δή ποκα γὰρ πέπλων λυσαμένα περόνας,
Ἵππω ἐπὶ κράνα Ἑλικωνίδι, καλὰ ῥοΐσα,
Λῶϊλο· μεσαμβρινὰ δ' εἶχ' ὄρος ἀσυχία.
Τειρεσίας δ' ἔτι μᾶνος ἄμαι κυσὶν, ἄρλι γένειᾳ
Περκάζων, ἱερὸν χῶρον ἀνεσρέφελο·
Διψάσας δ' ἄφαλόν τι, ποτὶ ῥόον ἦλυθε κράνας,
Σχέτλιος· ἐκ ἐθέλων δ' εἶδε τὰ μὴ θέμις ἦς·
Τὸν δὲ χολωσαμένα περ, ὅμως προσέφασεν Ἀθάνα,
Τίς σε, τὸν ὀφθαλμῶς ἐκ ἔτ' ἀπαισόμενον,
Ὦ Εὐηρείδα, χαλεπὰν ὁδὸν ἄγαγε δαίμων;
Ἃ μὲν ἔφα, παιδὸς δ' ὄμματα νὺξ ἔβαλεν.
Ἐξάθη δ' ἄφθογγος· ἐκόλλασαν γὰρ ἀνίαι
Γώνατα, καὶ φωνὰν ἔσχεν ἀμηχανίαι.

48. Θεσπιέων.] Θέσπεια; Κορώνεια, Ἀλίαρτος, πόλεις Βοιωτίας. *Sch.*
57. Ἵππω ἐπὶ κράνα.] Οὕτω καλεῖται Ἱπποκρήνη ἐν Ἑλικῶνι. *Schol.*
60. Περκάζων.] Μελαινόμενος ὑπὸ τῆς φύσεως τῶν τριχῶν. *Schol.*
65. Εὐηρείδα.] Εὐήρης υἱὸς ὁ Τειρεσίας. *Schol.*

Ἀ νύμφα δ' ἐβόασε, Τί μοι τὸν κῶρον ἔρεξας,
Πότνια; τοιαῦται δαίμονες ἐσὲ φίλαι;
Ὤμμαι, μοι τῶ παιδὸς ἀφείλεο· τέκνον ἄλαξε,
Εἶδες Ἀθαναίας σήθεα καὶ λαγόνας·
Ἀλλ' ἐκ ἄελιον πάλιν ὄψεαι· ὤ ἐμέ δειλάν·
Ὦ ὄρος, ὦ Ἑλικών, ἐκ ἔτι μοι παρίῃ.
Παχεσιν ἀμφιέραισι φίλον περὶ παῖδα λαβοῦσα,
Μάτηρ ὡς γοερῶν οἶτον ἀηδονίδων
Εσχε, βαρὺ κλαίουσα· θεὰ δ' ἐλέησεν ἑταίραν,
Καί μιν Ἀθαναίη πρὸς τόδ' ἔλεξεν ἔπος.
Δῖα γύναι, μετὰ πάντα βαλεῖ πάλιν, ὅσσα δὶ ὀργὴν
Εἶπας. ἐγὼν δ' ἔτοι τέκνον ἔθηκ' ἀλαόν.
Οὐ γὰρ Ἀθαναίῃ γλυκερὸν φέλει ὄμματα παιδῶν
Ἁρπάσδειν· Κρόνιοι δ' ὧδε λέγοντι νόμοι,
Ὅς κέ τιν' ἀθανάτων, ὅκα μὴ θεὸς αὐτὸς ἕληται,
Ἀθρήσῃ, μισθῷ τῆτον ἰδεῖν μεγάλῳ.
Δῖα γύναι, τὸ μὲν ἐ παλινάγρετον αὖθι γένοιτο
Ἔργον, ἐπεὶ μοιρᾶν ὧδ' ἐπένευσε λίνα,
Ἀνίκα τοπρᾶτόν νιν ἐγείναο· νῦν δὲ κομίσδευ,
Ὦ Εὐηρείδα, τέλθος ὀφειλόμενον.
Ὦ ἑτάρα, τῷ μή τι μινύρεο· τῷδε γὰρ ἄλλα
Τεῦ χάριν ἐξ ἐμέθεν πολλὰ μενεῦντι γέρα.
Μάντιν ἐπεὶ θησῶ νιν ἀοίδιμον ἐσσομένοισιν,
Ἢ μέγα τῶν ἄλλων δή τι περισσότερον.
Γνωσεῖται δ' ὄρνιχας, ὃς αἴσιος, οἵ τε πέτονται

79. Μετὰ πάντα βαλεῖ.] Τὸ ἐξῆς, μεταβαλεῖ. *Schol.*
88. Τέλθος.] Debitum, χρέος. *Hesych.*

Ἤλιθα,

Ἠλιθᾶ, καὶ ποίων ἐκ ἀγαθαὶ πτέρυγες.
Δωσῶ καὶ μέγα βάκτρον, ὅ οἱ πόδας ἐς δέον ἄξει,
Δωσῶ καὶ βιότε τέρμα πολυχρόνιον.
Καὶ μόνος, εὖτε θάνῃ, πεπνυμένος ἐν νεκύεσσι
Φοιτασεῖ, μεγάλῳ τίμιος Ἀγεσίλᾳ.
Ὡς φαμένα καθένευσε· τὸ δ' ἐντελὲς, ᾧ κ' ἔπινεύσῃ
Παλλάς· ἐπεὶ μώνᾳ Ζεὺς τόγε θυγατέρων
Δῶκεν Ἀθαναίᾳ, πατρώϊα πάντα φέρεσθαι.
Λωβροχόοι, μάτηρ δ' ἔτις ἔτικτε θεάν,
Ἀλλὰ Διὸς κορυφά· κορυφὰ Διὸς οὐκ ἐπινύει
Ψευδεα· ὡσαύτως ᾧ κέν οἱ ἃ θυγάτηρ.
Ἔρχεϑ' Ἀθαναίᾳ νῦν ἀτρεκές· ἀλλὰ δέχεσθε
Τὰν θεὸν, ὦ κῶραι, τῶργος ὅσαις μέλεται,
Σύν τ' εὐαλορίᾳ, σύν τ' εὐγμασι, σύν τ' ὀλολυγαῖς,
Χαῖρε, θεὰ, κάδευ δ' Ἄργεος Ἰναχίε.
Χαῖρε καὶ ἐξελάοισα, καὶ ἐς πόλιν αὖτις ἐλάσσαις
Ἵππως, καὶ Δαναῶν κλᾶρον ἄπαντα σάω.

95. Βάκτρον.] Apud Sophoclem, puero ductore; apud Euripidem, filiâ, vice baculi, utitur Tiresias. *Frisch.*

98. Ἀγεσίλᾳ.] Pro Ἀγεσίλᾳ repono Ἀγεσίλεω. Ita dictus est Pluto ἀπὸ τῦ ἄγειν τὰς λαὰς. *Frisch.*

103. Διὸς κορυφά.] Lucianus in Dialogis Mercurium sub partûs tempore cum securi astantem fingit, quâ cerebrum Jovis diffinderet. *Frisch.*

Ἐ Ξ

ἈΠΟΛΛΩΝΙΌΥ τȣ̃ ΡΟΔΙΌΥ

ΑΡΓΟΝΑΥΤΙΚΩ̃Ν Βιβ. γ'.

Apollonius, *Alexandrinus fuit, à plerisque, quia Rhodi Rhetoricam per aliquod tempus professus est, dictus* Rhodius: Callimachi *discipulus erat, sed postea invisissimus.* Eratostheni *successit in præfecturâ Bibliothecæ Alexandrinæ sub* Ptolemæo Euergete. *Fabric.*

Υ Π Ο Θ Ε Σ Ι Σ.

Ἰάσων μετὰ τῶν Φρίξȣ υἱῶν παραγενόμενος πρός τὸν Αἰήτην, ἀξιοῖ λαβεῖν τὸ δερός ἀγανακτήσας δὲ ὁ Αἰήτης ἄθλȣς αὐτῷ προςάττει μεγάλȣς ὥςε τȣ̀ς πυρίπνȣς ταύρȣς ζεῦξαι, καὶ σπεῖραι τȣς τȣ̃ δράκοντος ὀδόντας, ὑφ' ὧν ἀνεδίδοντο γίγαντες, ȣ̓ μόνον δὲ σπεῖραι, ἀλλα καὶ τῶν γηγενῶν ςάχυν θερίσαι Μήδεια δὲ, διὰ τὸν ἐπὶ τὸν Ἰάσονα ἔρωτα, ὑπάγεται ὑπὸ τῇ Χαλκιόπῃ τοῖς υἱοῖς αὐτῆς βοηθῆσαι. Καὶ δὴ συνθεμένη καὶ συντυχȣ̃σα τῷ Ἰάσονι κατὰ τὸ τῆς Ἑκάτης ἱερὸν, δίδωσί τε τὰ φάρμακα, καὶ ὑποτίθεται ὃν τρόπον δεῖ πρὸς τὸ θέρος τῶν γιγάντων ἁρμόσασθαι. *Schol.* ad init. lib. iii. Ἀργοναυτ.

ΘΕΣΠΈΣΙΟΝ δ' ἐν πᾶσι μετέπρεπεν Αἴσονος υἱὸς
Κάλλεϊ καὶ χαρίτεσσιν· ἐπ' αὐτῷ δ' ὄμματα κȣ́ρη
Λοξά παρὰ λιπαρὴν σχομένη θηεῖτο καλύπτρην,

Κῆρ

Κῆρ ἄχεϊ σμύχεσα· νόος δέ οἱ, ἠΰτ' ὄνειρος,
Ἑρπύζων πεποτῆτο μετ' ἴχνια νισσομένοιο.
Καί ῥ' οἱ μέν ῥα δόμων ἐξήλυθον ἀσχαλόωντες·
Χαλκιόπη δὲ χόλον πεφυλαγμένη Αἰήταο
Καρπαλίμως θάλαμόνδε σὺν υἱάσιν οἷσι βεβήκει,
Αὖτως δ' αὖ Μήδεια μετέσσυτο πολλὰ δὲ θυμῷ
Ὄρμαιν', ὅσσα τ' ἔρωες ἐποτρύνεσι μέλεσθαι.
Προπρὸ δ' ἄρ' ὀφθαλμῶν ἔτι οἱ ἰνδάλλετο πάντα·
Αὐτός θ' οἷος ἔην, οἵοισί τε φάρεσιν ἕστο,
Οἷά τ' ἔειφ', ὡς θ' ἕζετ' ἐπὶ θρόνου, ὥς τε θύραζε
Ἤϊεν· ὐδέ τιν' ἄλλον ὀΐσσατο πορφύρεσθαι
Ἔμμεναι ἀνέρα τοῖον· ἐν ἅασι δ' αἰὲν ὁρώρει
Αὐδή τε, μῦθοί τε μελίφρονες, ὧς ἀγόρευσε.
Τάρβει δ' ἀμφ' αὐτῷ, μή μιν βόες, ἠὲ καὶ αὐτὸς
Αἰήτης φίσειεν· ὀδύρετο δ' ἠΰτε πάμπαν
Ἤδη τεθνειῶτα· τέρεν δί οἱ ἀμφὶ παρειὰς
Δάκρυον αἰνοπάτῳ ἐλέῳ ῥέε κηδοσύνῃσιν.
Ἦκα δὲ, μυρομένη λιγέως, ἀνενείκατο μῦθον.

4. Pro ὄνειρος forsan legatur ὀνείρῳ, vel ὀνείροις, in somniis.

8. Σὺν υἱάσιν.] Οἱ Χαλκιόπης, τῆς Μηδείας ἀδελφῆς καὶ Φρίξῳ υἱοὶ γεγαλόμενοι, εἰς Ὀρχομενὸν, ἐναυάγησαν· καταχθέντες δὲ εἰς τὴν Ἄρεως νῆσον, συνέβαλον τοῖς Ἀργοναύταις καὶ ἀλληλους γνωρίσαντες κοινῇ ἐπῆλυσαν εἰς τὸν ἐν Κόλχοις ποταμὸν Φάσιν. *Schol.* ad init. lib. ii. Ἀργοναυτ.

11. Προπρὸ.] Ἐμφατικῶς αἱ προθέσεις τὴν συνεχῶς ἀνειδωλοποιοῦσαν τῷ νῷ ἐμφαίνουσι. Καὶ παρ' Ὁμήρῳ, προπροκυλινδόμενος. *Schol.*

14. Πορφύρω, *aestuo animo*; quod et significat eadem vox apud Homerum.

Τίπτ'

Τίπτ' ἐμὲ δειλαίην τόδ' ἔχει ἄχος; εἴθ' ὄγε πάντων
Φθίσεται Ἡρώων προφερέστατος, εἴτε χερείων,
Ἔρρέτω· ἢ μὲν ὄφελλεν ἀκήριος ἐξαλέασθαι.
Ναὶ δὴ τοῦτό γε, πότνα θεὰ Περσηΐ, τέλοιο·
Οἴκαδε νοστήσειε φυγὼν μόρον· εἰ δέ μιν αἶσα
Δμηθῆναι ὑπὸ βυσσὶ, τόδε προπάροιθε δαείη,
Οὕνεκεν ᾗ οἱ ἔγωγε κακὴ ἐπιγαίομαι ἄτῃ.
Ἦ μέν ἀρ' ὡς ἐόλητο νόον μελεδήμασι κύρη.
Νὺξ μὲν ἔπειτ' ἐπὶ γαῖαν ἄγε κνέφας· οἱ δ' ἐνὶ πόντῳ
Ναῦται εἰς Ἑλίκην τε καὶ ἀστέρας Ὠρίωνος
Ἕδρακον ἐκ νηῶν· ὕπνοιο δὲ καί τις ὀδίτης
Ἤδη, καὶ πυλαωρὸς, ἐέλδετο· καί τινα παίδων
Μήτηρ τεθνεώτων ἀδινὸν περὶ κῶμ' ἐκάλυπτεν·
Οὐδὲ κυνῶν ὑλακὴ ἔτ' ἀνὰ πτόλιν, ᾗ θρόος ἦεν
Ἠχήεις· σιγὴ δὲ μελαινομένην ἔχεν ὄρφνην.
Ἀλλὰ μάλ' ᾗ Μηδείαν ἐπὶ γλυκερὸς λάβεν ὕπνος.
Πολλὰ γὰρ Αἰσονίδαο πόθῳ μελεδήμαθ' ἔγειρεν
Δειδυῖαν ταύρων πραιδρὸν μένος, οἷσιν ἔμελλεν
Φθείσθαι ἀεικελίῃ μοίρῃ καὶ νειὸν Ἄρηος.
Πυκνὰ δὲ οἱ κραδίη σηθέων ἔνδοσθεν ἔθυεν·

24. Ἀκήριος.] Ἡ ὄφελε χωρισθῆναι ἀπαθὴς, μηδὲν παθών. *Schol.*

25. Περσηΐ.] Περσηΐδα τὴν Ἑκάτην λέγει, ὡς τῆ Περσέως θυγάτερα. *Schol.* Alii alia de Hecates genere memorant.

29. Ἐόλητο.] Ἐτετάραχτο καὶ ἐν ἀγωνίᾳ ἦν. *Schol.* Cæterum in Aldina editione legitur αἰόλητο, quæ quidem vox et usitatior est, et hìc melior videtur.

31. Ἑλίκην.] Helice dicebatur a Græcis Ursa Major.

Magna minorque feræ, quarum regis *altera Graias*,
Altera Sidonias, utraque ficta, rates. *Ovid.*

Ἑλίκη

Ἠελίȣ ὥς τίς τε δόμοις ἐνιπάλλεται αἴγλη
Ὕδατος ἐξανιȣ̃σα, τὸ δὴ νέον ἠὲ λέβητι
Ἠέ πȣ ἐν γαυλῷ κέχυται· ἡ δ' ἔνθα καὶ ἔνθα
Ὠκείῃ ςροφάλιγγι τινάσσεται αἰίσσȣσα·
Ὣς δὲ καὶ ἐν ςήθεσσι κέαρ ἐλελίζετο κȣ́ρης·
Δάκρυ δ' ἀπ' ὀφθαλμῶν ἐλέῳ ῥέεν· ἔνδοθι δ' αἰεὶ
Τεῖρ' ὀδύνη σμύχȣσα διὰ χρόος, ὁππότ' ἀνίας
Ἀκάματοι πραπίδεσσιν ἐνισκήπτεσκον ἔρωτες.
Φῆ δέ οἱ ἄλλοτε μὲν θελκτήρια φάρμακα ταύρων
Δωσέμεν, ἄλλοτε δ' ȣ̆τι· καταφθίσθαι δὲ καὶ αὐτή.
Αὐτίκα δ' ȣ̆τ' αὐτὴ θανέειν, ȣ̆ φάρμακα δώσειν,
Ἀλλ' αὔτως εὔκηλος ἑὴν ὀτλησέμεν ἄτην.
Ἑζομένη δ' ἤπειτα δοάσσατο, φώνησέν τε.
Δειλὴ ἐγὼ νῦν, ἔνθα κακῶν, ἢ ἔνθα γένωμαι,
Πάντῃ μοι φρένες εἰσὶν ἀμήχανοι· ȣ̆δέ τις ἀλκὴ
Πήματος· ἀλλ' αὔτως φλέγει ἔμπεδον· ὡς ὄφελόν γε
Ἀρτέμιδος κραιπνοῖσι πάρος βελέεσσι δαμῆναι,
Πρὶν τόνγ' εἰσιδέειν, πρὶν Ἀχαιΐδα γαῖαν ἱκέσθαι
Χαλκιόπης υἷας· τȣ̀ς μὲν θεὸς, ἤ τις Ἐριννὺς
Ἄμμι πολυκλαύτȣς δεῦρ' ἤγαγε κεῖθεν ἀνίας.
Φθείσθω ἀεθλεύων, εἴ οἱ κατὰ νειὸν ὀλέσθαι
Μοῖρα πέλει· πῶς γάρ κεν ἐμȣ̀ς λελάθοιμι τοκῆας
Φάρμακα μησαμένη; ποῖον δ' ἐπὶ μῦθον ἐνίψω;
Τίς δὲ δόλος, τίς μῆτις ἐπίκλοπος ἔσσετ' ἀρωγῆς;
Ἤ μιν ἄνευθ' ἑτάρων προσπτύξομαι οἷον ἰδȣ̃σα;
Δύσμορος· ȣ̆ μὲν ἔολπα καταφθιμένοιο περ ἔμπης
Λωφήσειν ἀχέων· τότε δ' ἂν κακὸν ἄμμι πέλοιτο,

Κεῖνος ὅτε ζωῆς ἀπαμείρεται.—Ἐρρέτω αἰδὼς,
Ἐρρέτω ἀγλαίη· ὁ δ' ἐμῇ ἰότητι σαωθεὶς
Ἀσκηθὴς, ἵνα οἱ θυμῷ φίλον, ἔνθα νέοιτο.
Αὐτὰρ ἐγὼν αὐτῆμαρ, ὅτ' ἐξανύσειεν ἄεθλον,
Τεθναίην, ἢ λαιμὸν ἀναρρήσασα μελάθρου,
Ἦ καὶ πασσαμένη ῥαιςήρια φάρμακα θυμῷ.
Ἀλλὰ καὶ ὡς φθιμένη μοι ἐπιλλίσσεσθον ὀπίσσω
Κερδομίας. τηλῷ δὲ πόλις περὶ πᾶσα βοήσει
Πότμον ἐμὸν· καὶ κέν με διὰ ςόμαλος φορέεσθαι
Κολχίδες ἄλλυδις ἄλλαι ἀεικία μωμήσονται·
Ἤ τις κηδομένη τόσον ἀνέρος ἀλλοδαποῖο
Κάτθανεν, ἥτις δῶμα καὶ ὃς ἤσχυνε τοκῆας,
Μαργοσύνῃ εἰξασα· τί δ' ὐκ ἐμὸν ἔσσεται αἶσχος;
Ὤ μοι ἐμῆς ἄτης! ἦτ' ἂν πολὺ κέρδιον εἴη
Τῇδ' αὐτῇ ἐν νυκτὶ λιπεῖν βίον ἐν θαλάμοισιν
Πότμῳ ἀνωίςῳ, κάκ' ἐλέγχεα πάντα φυγέσθαι.
Πρὶν τάδε λωβήεντα καὶ ὐκ ὀνομαςὰ τελέσσαι.
Ἦ, καὶ φωριαμὸν μελεκίαθεν, ἦ ἔνι πολλὰ
Φάρμακά οἱ, τὰ μὲν ἐσθλὰ, τὰ δὲ ῥαιςήρι, ἔκειτο.
Ἐνθεμένη δ' ἐπὶ γύνατ' ὀδύρετο· δεῦε δὲ κόλπους
Ἀλληκτον δακρύοισι, τὰ δ' ἔρρεεν ἀςαγὲς αὔτως,

74. Ἐπιλλίσσεσθον.] Ἐπικαλαμωμήσεσθαι· κυρίως δὲ τὸ τὰς ὀφθαλμὰς ἐπικλίνειν καλαμωκώμενον. *Schol.*

88. Ἀςαγές. Ita legunt Isaac. Casaubonus et J. Rutgerfius pro ἀςιγὲς, quod in edit. vulg. ἀςαγὲς autem idem est, quod ἀςαχὲς, Ἀσαγὲς, πολὺ καὶ λάβρον. *Hesych.* ἀςαχὲς, πολυςαχὲς. *Sch. Soph. Oed. Col.* τὸ α hic est ἐπιπλαστικόν. *Casaub. Lect. Theocr.* cap. xiv.

Αἶψ'

Αἶν' ὀλοφυρομένης τὸν ἑὸν μόρον· ἴελο δ' ἦγε
Φάρμακα λέξασθαι θυμοφθόρα, τόφρα πάσαιλο.
Ἤδη καὶ δεσμὺς ἀνελύελο φωριαμοῖο,
Ἐξελέειν μεμαυῖα δυσάμμορος· ἀλλά οἱ ἄφνω
Δεῖμ' ὀλοὸν συγεροῖο κατὰ φρένας ἦλθ' Ἀΐδαο.
Ἔσχελο δ' ἀμφασίη δηρὸν χρόνον, ἀμφὶ δὲ πᾶσαι
Θυμηδεῖς βιότοιο μελῃδόνες ἰνδάλλονλο.
Μνησαλο μὲν τερπνῶν, ὅσ' ἐνὶ ζωοῖσι τέλονται,
Μνήσαθ' ὁμηλικίης περιγηθέος, οἷά τε κύρη·
Καί τέ οἱ ἠέλιος γλυκίων γένετ' εἰσοράασθαι,
Ἤ πάρος, εἰ ἐτεόν γε νόῳ ἐπεμαίετ' ἔκαρσα.
Καὶ τὴν μέν ῥα πάλιν σφετέρων ἀπεκάτθελο γένων,
Ἥρης ἐννεσίῃσι μετάτροπος, ὐδέ τι βυλὰς
Ἄλλῃ δοιάζεσκεν· ἐέλδελο δ' αἶψα φανῆναι
Ἠὼ τελλομένην, ἵνα οἱ θελκήρια δοίη
Φάρμακα συνθεσίῃσι, καὶ ἀντήσειεν ἐς ὠπήν.
Πυκνὰ δ' ἀνὰ κληῖδας ἑῶν λύεσκε θυράων,
Αἴγλην σκεπλομένη· τῇ δ' ἀσπάσιον βάλε φέγλος
Ἠριγενὴς, κίνυλο δ' ἀνὰ πλολίεθρον ἕκαστοι.
Ἡ δ' ἐπεὶ ἓν ταπρῶτα φαεινομένην ἴδεν ἠὼ
Παρθενικὴ, ξανθὰς μὲν ἀνήψαλο χερσὶν ἐθείρας,
Αἵ οἱ ἀτημελίῃ καλλαειμέναι ἠερέθονλο·
Αὐχαλέας δ' ἔψησε παρηΐδας· αὐτὰρ ἀλοιφῇ
Νεκλαρέῃ φαιδρύνετ' ἐπὶ χρόα· δῦνε δὲ πέπλον

90. Πάσαιλο.] Hæc vox displicet Scholiastæ, sed immeritò; quis enim nesciat πάσασθαι esse γεύσασθαι? *Hoelzlinus.*

Καλὸν, εὔγνάμπτοισιν ἀρηραμένον περόνῃσιν.
Ἀμβροσίῳ δ' ἐφύπερθε καρήατι βάλλε καλύπτρην
Ἀργυφέην· αὐτοῦ δὲ δόμοι, ἐνὶ δινεύουσα
Στεῖβε πέδον, λήθῃ ἀχέων τά οἱ ἐν ποσὶν ἦεν
Θεσπέσι, ἀλλά τ' ἔμελλεν ἀεξήσεσθαι ὀπίσσω.

Ιάσων πρὸς Μηδείαν, κατὰ τὸ τῆς Ἑκάτης ἱερὸν, ἐς λόγους ἔρχεται.

Ἔνθ' οὔπω τις τοῖος ἐπὶ προτέρων γένετ' ἀνδρῶν,
Οὔθ' ὅσοι ἐξ αὐτοῖο Διὸς γένος, οὔθ' ὅσοι ἄλλων
Ἀθανάτων Ἥρωες ἀφ' αἵματος ἐβλάστησαν,
Οἷον Ἰήσονα θῆκε Διὸς δάμαρ ἤματι κείνῳ,
Ἡ μὲν ἐσαντα ἰδεῖν, ἠδὲ προτιμυθήσασθαι.
Τὸν καὶ παπταίνοντες ἐθάμβεον αὐτοὶ ἑταῖροι
Λαμπόμενον χαρίτεσσιν· ἐγήθησεν δὲ κελεύθῳ
Ἀμπυκίδης, ἤδη που ὀϊσσάμενος τὰ ἕκαστα.

8. Ἀμπυχίδης.] Mopsus, Ampyci filius. Paulo supra in Apollonio:

——————— μετὰ δέ σφισιν εἵπετο Μόψος
Ἀμπυκίδης, ἐσθλὸς μὲν ἐπιπροφανέντας ἐνεσπεῖν
Οἰωνούς·

10, 11. Πάσαι δέ οἱ.] Hic à plurali ad singularem est numeri conversio: quod quidem fit interdum in optimis scriptoribus. Apud Terent. Heaut. act. i. sc. 3.

——————— nam *parentium* injuriæ
Uniusmodi sunt fermè, paulò *qui est* homo tolerabilis:
Scortari crebrò *nolunt*.

A sen-

Οὐδ' ἄρα Μηδείης θυμὸς τράπετ' ἄλλα νοῆσαι,
Μελπομένης περ ὁμῶς· πᾶσαι δέ οἱ, ἤν τιν' ἀθύροι
Μολπήν, ἐκ ἐπὶ δηρὸν ἐφὴ δαπον ἐψιάασθαι.
Ἀλλὰ μελαλήγεσκεν ἀμηχανος· ὐδέ πω ὅσσε
Ἀμφιπόλων μεθ' ὅμιλον ἔχ' ἀτρέμας, ἐς δὲ κελεύθης
Τηλόσε παπταίνεσκε, παρακλίνασα παρειάς.
Ἦ θαμὰ δὴ ςηθέων ἐάγη κέαρ, ὁππότε δῦπον
Ἦ ποδὸς ἢ ἀνέμοιο παραθρέξαιλα δοάσσαι.
Αὐτὰρ ὅγ' ὐ μελα δηρὸν ἐελδομένη ἐφαάνθη,
Ὑψόσ' ἀναθρώσκων, ἅτε Σείριος ὠκεανοῖο,
Ὅς δή τοι καλὸς μὲν, ἀριζηλός τ' ἐσιδέσθαι
Ἀντέλλει, μήλοισι δ' ἐν ἄσπετον ἦκεν ὀιζύν.
Ὣς ἄρα τῇ καλὸς μὲν ἐπήλυθεν εἰσοράασθαι
Αἰσονίδης, κάματον δὲ δυσίμερον ὦρσε φαανθείς.
Ἐκ δ' ἄρα οἱ κραδίη ςηθέων πέσεν, ὄμμαλα δ' αὔτως
Ἠχλυσαν· θερμὸν δὲ παρηίδας εἶλεν ἔρευθος·
Γύνατα δ' ὔτ' ὀπίσω, ὔτε προπάροιθεν ἀεῖραι
Ἔσθενεν, ἀλλ' ὑπένερθε πάγη πόδας· αἱ δ' ἄρα τείως
Ἀμφιπολοι μάλα πᾶσαι ἀπὸ σφείων ἐλίασθεν.
Τῷ δ' ἀνέω καὶ ἄναυδοι ἐφέςασαν ἀλλήλοισιν,
Ἦ δρυσὶν, ἢ μακρῇσιν ἐειδόμενοι ἐλάτῃσιν,
Αἵ τε παρᾶσσον ἕκηλοι ἐν ὄρεσιν ἐρριζωνται
Νηνεμίῃ· μετὰ δ' αὖτις ὑπὸ ῥιπῆς ἀνέμοιο

A ſententiâ generali ad ſingularem ſæpe ſenſim delabitur oratio. Aliquando etiam a ſingulari ad generalem. Utriuſque exempla vide in Forſteri Indice Attic. ad Platonem.

16. Δοάσσιλαι.] Ἔδοξεν ἀκύειν παραδραμόνλα· τὸ δὲ δοάσαι τὸ θέρμα δοάζω· σημαίνει δὲ τὸ νομίσαι. *Schol.*

Κινύμεναι

Τήκεται ἠώοισιν ἰαινομένη φαέεσσιν.
Ἀμφω δ' ἄλλοτε μέν τε καὶ ἔδεος ὄμμασ' ἔρειδον
Αἰδόμενοι, ὁτὲ δ' αὖτις ἐπὶ σφίσι βάλλον ὀπωπάς,
Ἱμερόεν φαιδρῇσιν ὑπ' ὀφρύσι μειδιόωντες.
Ὀψὲ δὲ δὴ τοιοῖσι μόλις προσπλύξατο κούρη.
Φράζεο νῦν, ὡς κέν τοι ἐγὼ μηΐσομαι ἀρωγήν.
Εὖτ' ἂν δὴ μείονι παλῇ ἐμὸς ἐγγυαλίξῃ
Ἐξ ὄφιος γενύων ὀλοὰς σπείρασθαι ὀδόντας,
Δὴ τότε μέσσην νύκτα διαμοιρηδὰ φυλάξας,
Ἀκαμάτοιο ῥοῇσι λοεσσάμενος προχοῇσι,
Οἷος ἄνευθ' ἄλλων ἐνὶ φάρεσι κυανέοισι
Βόθρον ὀρύξασθαι περιηγέα· τῷ δ' ἔνι θῆλυν
Ἀρνειὸν σφάζειν, καὶ ἀδαίεσθον ὠμοθετῆσαι,
Αὐτῷ πυρκαϊὴν εὐ νήσας ἐπὶ βοθρῳ·
Μηνογενῆ δ' Ἑκάτην Περσηΐδα μειλίσσειο,
Λείβων ἐκ δέπαος σιμβλήϊα ἔργα μελισσῶν.
Ἦρι δὲ μυδήνας τόδε φάρμακον, ἠΰτ' ἀλοιφῇ,
Γυμνωθεὶς φαίδρυνε τεὸν δέμας· ἐν δέ οἱ ἀλκὴ
Ἔσσεται ἀπειρεσίη, μέγα τε σθένος ἠδὲ καὶ φαίης
Ἀνδράσιν, ἀλλὰ θεοῖσιν ἰσαζέμεν ἀθανάτοισιν.
Πρὸς δὲ καὶ αὐτῷ δουρὶ σάκος πεπαλαγμένον ἔσω,
Καὶ ξίφος· ἔνθ' ἔκ κέν σε διαμπήξειαν ἀκωκαὶ
Γηγενέων ἀνδρῶν, ἠδ' ἀσχέλος αἰσσουσα
Φλὸξ ὁλοῶν ταύρων· τοῖός γε μὲν ἔκ ἐπὶ δηρὸν
Ἔσσεαι, ἀλλ' αὐτῆμαρ· ὅμως σύ γε μή ποθ' ἑέθλῳ
Χάζεο· καὶ δέ τοι ἄλλο παρὲξ ὑποθήσομ' ὄνειαρ.
Αὐτὰρ ἐπὴν κρατερὰς ζεύξῃς βόας, ὦκα δὲ πᾶσαν

Χερσὶ

Χερσὶ καὶ ἠνορέῃ ςυφελὴν διὰ νειὸν ἀρόσσῃς,
Οἱ δ' ἤδη κατὰ ὦλκας ἀναςαχύωσι γίγαντες,
Σπειρομένων ὄφιος διοφερὴν ἐπὶ βῶλον ὀδόντων,
Αἴ κεν ὀρινομένους πολέας νειοῖο δοκεύσῃς,
Λάθρη λᾶαν ἄφες ςιβαρώτερον· οἱ δ' ἂν ἐπ' αὐτῷ,
Καρχαρέοι κύνες ὥςε περὶ βρώμης ὀλέκοιεν
Ἀλλήλους· καὶ δ' αὐτὸς ἐπείγεο· δηϊοτῆτος
Ἰθῦσαι· τὸ δὲ κῶας ἐς Ἑλλάδα τοῖό γ' ἔκητι
Οἴσεαι ἐξ Αἴης τηλοῦ ποθί· νίσσεο δ' ἔμπης,
Ἥι φίλον, ᾗ τοι ἔαδεν ἀφορμηθέντι νέεσθαι.
Ὣς ἄρ' ἔφη· καὶ σῖγα ποδῶν πάρος ὄσσε βαλοῦσα,
Θεσπέσιον λιαροῖσι παρηΐδα δάκρυσι δεῦε
Μορομένη, ὅτ' ἔμελλεν ἀπόπροθι ποκλὸν ἑοῖο
Πόντον ἐπιπλάγξασθαι· ἀνιηρῷ δέ μιν ἄντην
Ἐξαῦτις μύθῳ προσεφώνεεν, εἷλέ τε χειρὸς
Δεξιτερῆς· δὴ γὰρ ἀπ' ὀφθαλμοὺς λίπεν αἰδώς.
Μνώεο δ', ἢν ἄρα δή ποθ' ὑπότροπος οἴκαδ' ἵκηαι,
Οὔνομα Μηδείης· ὣς δ' αὖτ' ἐγὼ ἀμφὶς ἐόντος
Μνήσομαι· εἰπὲ δὲ μοι πρόφρων τόδε, πῇ τοι ἔασι
Δώματα, πῇ νῦν ἔνθεν ὑπεὶρ ἅλα νηῒ περήσεις·
Ἦ νύ που ἀφνειοῦ σχεδὸν ἵζεαι Ὀρχομενοῖο,
Ἠὲ καὶ Αἰαίης νήσου πέλας· εἰπὲ δὲ κούρην

129. Ὀρχομενοῖο] Orchomenus urbs Bœotiæ. Phryxus autem (Athamantis regis Thebarum et Nepheles filius) unà cum sorore Hellē novercæ Inûs insidias fugiens, conscenso ariete aureo, Hellespontum transiit, Colchosque pervenit. Inde Medea Orchomenum cognovit.

130. Αἰαίης νήσου] νῆσος ἐν τῷ Φάσιδί ἐςιν ἡ Αἰαία, ἐν ᾗ τό δέρας ἔκειτο· αὕτη δέ ἐςι Κόλχων μητροπόλις. *Schol.*

Ἤν τινα τήνδ' ὀνόμηνας ἀριγνώτην γεγαυῖαν
Πασιφάης, ἣ πατρὸς ὁμόγνιός ἐσιν ἐμεῖο.
Ὣς Φάτο· τὸν δὲ καὶ αὐτὸν ὑπηΐε δάκρυσι κέρης
Οὖλος ἔρως· τοῖον δὲ παραβλήδην ἔπος ἠυδα.
Καὶ λίην ἐ νύκλας ὀίομαι, ἐδέ ποτ' ἦμαρ,
Σεῦ ἐπιλήσεσθαι, προφυγὼν μόρον· εἰ ἑτέόν γε
Φεύξομαι ἀσκηθὴς ἐς Ἀχαιΐδα, μηδέ κεν ἄλλον
Αἰήτης προβάλησι κακώτερον ἄμμιν ἄεθλον.
Εἰ δέ τοι ἡμετέρην ἐξιδμέναι εὖαδε πάτρην,
Ἐξερέω· μάλα γάρ με καὶ αὐτὸν θυμὸς ἀνώγει.
Ἐσί τις αἰπεινοῖσι περίδρομος ἔρεσι γαῖα,
Πάμπαν εὐρείης τε καὶ εὔβολος· ἔνθα Προμηθεὺς
Ἰαπετιονίδης ἀγαθὸν τέκε Δευκαλίωνα·
Ὃς πρῶτος ποίησε πόλεις, καὶ ἐδείμαλο νηὸς
Ἀθανάτοις, πρῶτος δὲ καὶ ἀνθρώπων βασίλευσεν·
Αἰμονίην δὴ τήνδε περικλιόνες καλέεσιν·
Ἐν δ' αὐτῇ Ἰαολκὸς, ἐμὴ πόλις, ἐν δὲ καὶ ἄλλαι.
Ἀλλὰ τίη τάδε τοι μεταμώνια πάντ' ἀγορεύω,
Ἡμετέρας τε δόμους, τηλεκλείτην τ' Ἀριάδνην,
Κέρην Μίνωος; τό περ ἀγλαὸν ὄνομα κείνην
Παρθενικὴν καλέεσκον ἐπήρατον, ἦν μ' ἐρείνεις.
Αἴθε γὰρ, ὡς Θησῆϊ τότε ξυναρέσσατο Μίνως
Ἀμφ' αὐτῆς, ὣς ἄμμι πατὴρ τεὸς ἄρθμιος εἴη.
Ὣς φάτο, μειλιχίοισι καλαψήχων ὀάροισι.

154. Καλαψήχων] Καλαμαλάτων Scbol.

Τῆς

Τῆς δ' ἀλεγεινόταλαι κραδίην ἐρεθεσκον ἀνίαι.
Καί μιν ἀκηχεμένη ἀδινῷ πρασπτύξατο μύθῳ.
Ἑλλάδι που τάδε καλὰ, συνημοσύνας ἀλεγύνειν
Αἰήτης δ' ὑ τοῖος ἐν ἀνδράσιν, οἷον ἔειπας
Μίνω Πασιφάης πάσιν ἔμμεναι· ἐδ' Ἀριάδνῃ
Ἰσκμαι· τῷ μή τι φιλοξενίην ἀγόρευε.
Ἀλλ' εἶον τύνη μὲν ἐμεῦ, ὅτ' Ἰωλκὸν ἵκηαι,
Μνώεο· σεῖο δ' ἐγὼ, καὶ ἐμῶν ἀέκητι τοκήων,
Μνήσομαι· ἔλθοι δ' ἡμὶν ἀπόπροθεν ἠέ τις ἔσσα,
Ἠέ τις ἄγγελος ὄρνις, ὅτ' ἐκλελάθοιο ἐμεῖο·
Ἡ αὐτὴν γε ταχεῖαι ὑπὲρ πόντοιο φέροιεν
Ἐνθένδ' εἰς Ἰαολκὸν ἀναρπάξασαι ἄελλαι,
Ὄφρα σ', ἐν ὀφθαλμοῖσιν ἐλεγχείας προφέρουσα,
Μνήσω ἐμῆ ἰότητι πεφυγμένον· αἴθε γὰρ εἴην
Ἀπροφάτως τότε σοῖσιν ἐφέσσιος ἐν μεγάροισιν.
Ὡς ἀρ' ἔφη, ἐλεεινὰ καλαπροχέουσα παρειῶν
Δάκρυα· τὴν δ' ὅ γε δῆθεν ὑποβλήδην προσέειπε.
Δαιμονίη, κενεὰς μὲν ἔα πλάζεσθαι ἀέλλας,
Ὡς δὲ καὶ ἄγγελον ὄρνιν, ἐπεὶ μελαμώνια βάζεις.
Εἰ δέ κεν ἦθεα κεῖνα καὶ Ἑλλάδα γαῖαν ἵκηαι,
Τιμήεσσα γυναιξὶ καὶ ἀνδράσιν, αἰδοίη τε,
Ἔσσεαι· ἠδέ σε πάγχυ θεὸν ὡς πορσανέουσιν,

156. Ἀδινῷ] Ἀδινὸν ἐπίθετον μὲν τὸ οἰκτρὸν καὶ λυπηρόν. *Schol.*

164. Ἄγγελος ὄρνις] De Ibyci gruibus nota est historia. In scriptis sacris Ecclesiast. x. 20. de iis quæ satis occultari nequeunt. *Hoeschelius.* De Ibyco historia est apud Suidam in voce Ἴβυκός.

176. Πορσανέουσιν] Τιμήσουσι, καὶ ὡς θεὸν νομίσουσι σωθῆναι. *Schol.*

Circiter An. ante Christ.

tum *Julianum* Imperatorem refert Ammianus Marcellinus.

390. Olymp. 97. viguit *Callistratus*, Athenienſis Comicus, Ariſtophanis præcipuè æmulus.

150. Olymp. 157. *Moſchus* Siculus, qui Bionis mortem carmine deflevit, Ariſtarcho familiaris.

Digitized by Google

Ἐκ τῶν ΣΟΥΙΔΑ, περὶ Τυρταίου.

Τυρταῖος Ἀρχιμβρότου, Λάκων ἢ Μιλήσιος, ἐλεγειοποιὸς καὶ αὐλητής· ὃν λόγος τοῖς μέλεσι χρησάμενον Λακεδαιμονίους πολεμοῦντας Μεσσηνίοις ἐπικρατεστέρους ποιῆσαι· ἦν δὲ παλαίταλος, σύγχρονος τοῖς ἐπὶ Ἀλκμᾶνι κληθεῖσι σοφοῖς, ἢ καὶ παλαίτερος· ἤκμαζε γὰρ κατὰ τὴν λέ Ὀλυμπιάδα· ἔγραψεν ὑποθήκας δι' ἐλεγείας, καὶ μέλη πολεμιστήρια εἰς βιβλία έ.

ΕΚ ΤΩΝ

ΤΥΡΤΑΙΟΥ,

Περὶ τῆς πολεμικῆς ἀρετῆς.

Οὐ γὰρ ἂν μνησαίμην, οὔτ' ἐν λόγῳ ἄνδρα τιθείμην,
Οὔτε ποδῶν ἀρετῆς, οὔτε παλαισμοσύνης·
Οὐδ' εἰ Κυκλώπων μὲν ἔχοι μεγεθός τε βίην τε,
Νικώη δὲ θέων Θρηΐκιον Βορέην·
Οὐδ' εἰ Τιθωνοῖο φυὴν χαρίεσερος εἴη,
Πλουτοίη δὲ Μίδεω καὶ Κινύρεω βάθιον·
Οὐδ' εἰ Ταντα λίδεω Πέλοπος βασιλεύτερος εἴη,
Γλῶσσαν δ' Ἀδρήστου μειλιχόγηρυν ἔχοι·
Οὐδ' εἰ πᾶσαν ἔχοι δόξαν, πλὴν θηριδος ἀλκῆς.
Οὐ γὰρ ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ,
Εἰ μὴ τετλαίη μὲν ὁρῶν φόνον αἱματόεντα,

Καὶ δηΐων ὑρέγοιτ' ἐγγύθεν ἱςάμενος.
Ἡ δ' ἀρετὴ, τό γ' ἄεθλον ἐν ἀνθρώποισιν ἄριςον,
Κάλλιςόν τε φέρειν γίγνεται ἀνδρὶ νέῳ.
Ξυνὸν δ' ἐσθλὸν τοῦτο πόληΐ τε, παντί τε δήμῳ,
Ὅςις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένῃ
Νωλεμέως, αἰσχρᾶς δὲ φυγῆς ἐπιπάγχυ λάθηται,
Ψυχὴν καὶ θυμὸν τλήμονα παρθέμενος,
Θαρσύνῃ δὲ πεσεῖν τὸν πλησίον ἄνδρα παρεςώς·
Οὗτος ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ.
Αἶψα δὲ δυσμένεων ἀνδρῶν ἔτρεψε φάλαγγας
Τρηχείας, σπουδῇ τ' ἔσχεθε κῦμα μάχης.
Αὐτὸς δ' ἐν προμάχοισι πεσὼν φίλον ὤλεσε θυμὸν,
Ἄςύ τε, καὶ λαοὺς, καὶ πατέρ' εὐκλεΐσας·
Πολλὰ διὰ ςέρνοιο, καὶ ἀσπίδος ὀμφαλοέσσης,
Καὶ διὰ θώρηκος πρόσθεν ἐληλαμένος.
Τὸν δ' ὀλοφύρονται μὲν ὁμῶς νέοι ἠδὲ γέροντες,
Ἀργαλέῳ δὲ πόθῳ πᾶσα κέκηδε πόλις.
Καὶ τύμβος, καὶ παῖδες ἐν ἀνθρώποις ἀρίσημοι,
Καὶ παίδων παῖδες, καὶ γένος ἐξοπίσω·
Οὐδέποτε κλέος ἐσθλὸν ἀπόλλυται, οὐδ' ὄνομ' αὐτοῦ,
Ἀλλ', ὑπὸ γῆς περ ἐὼν, γίγνεται ἀθάνατος,
Ὅν τιν' ἀριςεύοντα, μένοντά τε, μαρνάμενόν τε
Γῆς περὶ καὶ παίδων, θοῦρος Ἄρης ὀλέσῃ.

16. Διαβαίνω est, pedes modo militari componere divaricatis paulum cruribus, quod notavit doctissimus Taylor ad Lycurgi Orat. Sic apud Hom. Iliad. μ'. 458. εὖ διαβὰς, quod exponit Didymus ἰσχυρῶς ςάς.

Εἰ

Ἦν δὲ φύγοι μὲν κῆρα ταναηλεγέος θανάτοιο,
Νικήσας δ' αἰχμῆς ἀγλαὸν εὖχος ἕλῃ·
Πάντες μιν τιμῶσιν ὁμῶς νέοι ἠδὲ παλαιοὶ,
Πολλὰ δὲ τερπνὰ παθὼν ἔρχεται εἰς Ἀΐδην.
Γηράσκων δ' ἀχεοῖσι μεταπρέπει, οὐδέ τις αὐτὸν
Βλάπτειν, οὔτ' αἰδῶς, οὔτε δίκης ἐθέλει.
Πάντες δ' ἐν θώκοισιν ὁμῶς νέοι, οἵ τε κατ' αὐτὸν,
Εἴκουσ' ἐκ χώρης, οἵ τε παλαιότεροι.
Ταύτης νῦν τις ἀνὴρ ἀρετῆς εἰς ἄκρον ἱκέσθαι
Πειράσθω θυμῷ, μὴ μεθιεὶς πολέμου.

Τὲ αὐτὲ β'.

Μέχρις σεῦ καθάκεισθε; κότ' ἄλκιμον ἔξετε θυμὸν,
Ὦ νέοι; οὐδ' αἰδεῖσθ' ἀμφιπερικλίονας,
Ὧδε λίην μεθιέντες; ἐν εἰρήνῃ δὲ δοκεῖτε
Ἥσθαι· ἀτὰρ πάλεμος γαῖαν ἅπασαν ἔχει.

* * * * *

Καί τις ἀποθνήσκων ὕστατ' ἀκοντισάτω.
Τιμῆέν τε γάρ ἐστι καὶ ἀγλαὸν ἀνδρὶ, μάχεσθαι
Γῆς πέρι, καὶ παίδων, κυριδίης τ' ἀλόχου,
Δυσμενέσιν· θάνατος δέ τοτ' ἔσσεται, ὁππότε κεν δὴ
Μοῖραι ἐπικλώσωσ'. ἀλλά τις ἰθὺς ἴτω,
Ἔγχος ἀνασχόμενος, καὶ ὑπ' ἀσπίδος ἄλκιμον ἦτορ
Ἕλσας, τοπρῶτον μιγνυμένου πολέμου.
Οὐ γάρ κως θάνατόν γε φυγεῖν εἱμαρμένον ἐστὶν,
Ἀνδρ', οὐδ' ἢν προγόνων ἧ γένος ἀθανάτων.
Πολλάκι δηϊοτῆτα φυγὼν καὶ δοῦπον ἀκόντων
Ἔρχεται, ἐν δ' οἴκῳ μοῖρα κίχεν θανάτου.

Ἀλλ' ὁ μὲν οὐκ ἔμπας δήμῳ φίλος, οὐδὲ ποθεινός·
Τὸν δ' ὀλίγος ςενάχει καὶ μέγας, ἤν τί πάθῃ.
Λαῷ γὰρ ξύμπαντι πόθος κρατερόφρονος ἀνδρὸς
Θνήσκοντος· ζώων δ', ἄξιος ἡμιθέων.
Ὥσπερ γάρ μιν πύργον ἐν ὀφθαλμοῖσιν ὁρῶσιν·
Ἔρδει γὰρ πολλῶν ἄξια μοῦνος ἐών.

Τοῦ αὐτοῦ, γ'.

Ἀλλ' Ἡρακλῆος γὰρ ἀνίκητον γένος ἐςέ.
Θαρσεῖτ', οὔπω Ζεὺς αὐχένα λοξὸν ἔχει.
Μηδ' ἀνδρῶν πληθὺν δειμαίνετε, μηδὲ φοβεῖσθε·
Ἰθὺς δ' ἐς προμάχους ἀσπίδ' ἀνὴρ ἐχέτω.
Ἴςε γὰρ ὡς Ἄρεως πολυδακρύου ἔργ' ἀρίδηλα,
Εὖ δ' ὀργὴν ἐδάητ' ἀργαλέου πολέμου.
Οἳ μὲν γὰρ τολμῶσι, παρ' ἀλλήλοισι μένοντες,
Ἔς τ' αὐτοσχεδίην καὶ προμάχους ἰέναι,
Παυροτέροι θνήσκουσι, σάουσι δὲ λαὸν ὀπίσσω·
Τρεσσάντων δ' ἀνδρῶν πᾶσ' ἀπόλωλ' ἀρετή.
Οὐδεὶς δ' ἄν ποτε ταῦτα λέγων ἀνύσειεν ἕκαςα,
Ὅσσ', ἐὰν αἰσχρὰ πάθῃ, γίγνεται ἀνδρὶ κακά.
Ἀργαλέον γὰρ ὄπισθε μετάφρενόν ἐςι δαΐζειν
Ἀνδρὸς φεύγοντος δηΐῳ ἐν πολέμῳ.
Αἰσχρὸν δ' ἐςὶ νέκυς κατακείμενος ἐν κονίῃσι
Νῶτον ὄπισθ' αἰχμῇ δουρὸς ἐληλαμένος·
Ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισι
Στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών,
Μηρούς τε, κνήμας τε κάτω, καὶ ςέρνα, καὶ ὤμους

Ἀσπίδος

Ἀσπίδος εὐρείης γαστρὶ καλυψάμενος·
Δεξιλερῇ δ' ἐν χειρὶ τινασσέτω ὄβριμον ἔγχος,
Κινείτω δὲ λόφον δεινὸν ὑπὲρ κεφαλῆς.
Ἔρδων δ' ὄβριμα ἔργα, διδασκέσθω πολεμίζειν,
Μηδ' ἐκτὸς βελέων ἑστάτω ἀσπίδ' ἔχων.
Ἀλλά τις ἐγγὺς ἰὼν, αὐτοσχεδὸν ἔγχει μακρῷ
Ἢ ξίφει ὑτάζων, δήϊον ἄνδρ' ἑλέτω·
Καὶ πόδα παρὰ ποδὶ θείς, καὶ ἐπ' ἀσπίδος ἀσπίδ' ἐρείσας,
Ἐν δὲ λόφον τε λόφῳ, καὶ κυνέην κυνέῃ,
Καὶ στέρναν στέρνῳ, πεπλημένος ἀνδρὶ μαχέσθω,
Ἢ ξίφεος κώπην, ἢ δορυ μακρὸν ἑλών.

Τῷ αὐτῷ, δ'.

Τεθνάμεναι γὰρ καλὸν ἐνὶ προμάχοισι πεσόντα
Ἄνδρ' ἀγαθὸν, περὶ ᾗ πατρίδι μαρνάμενον.
Τὴν δ' αὐτῆς προλιπόντα πόλιν καὶ πίονας ἀγρὺς
Πτωχεύειν, πάντων ἐς' ἀνιηρότατον,
Πλαζόμενον σὺν μητρὶ φίλῃ, καὶ πατρὶ γέροντι,
Παισί τε σὺν μικροῖς, κυριδίῃ τ' ἀλόχῳ.
Ἐχθίστος γὰρ τοῖσι μετέσσεται, ὅς κεν ἵκηται,
Χρησμοσύνη τ' εἴκων καὶ συγερῇ πενίῃ.
Αἰσχύνει τε γένος, κατὰ δ' ἀγλαὸν εἶδος ἐλέγχει,
Πᾶσα δ' ἀτιμία καὶ κακότης ἕπεται.
Εἶθ' ὕστος ἀνδρός τοι ἀλωμένου ἐδεμί' ὤρη
Γίγνεται, ὕτ' αἰδὼς εἰσοπίσω τελέθει.

Θυμῷ

Θυμῷ γῆς περὶ τῆσδε μαχώμεθα, καὶ περὶ παίδων
Θνήσκωμεν, ψυχέων μηκέτι φειδόμενοι.
Ὦ νέοι, ἀλλὰ μάχεσθε παρ' ἀλλήλοισι μένοντες,
Μηδὲ φυγῆς αἰσχρᾶς ἄρχετε, μηδὲ φόβου.
Ἀλλὰ μέγαν ποιεῖτε καὶ ἄλκιμον ἐν φρεσὶ θυμὸν,
Μηδὲ φιλοψυχεῖτ' ἀνδράσι μαρναμένοις.
Τοὺς δὲ παλαιοτέρους, ὧν γούνατ' ἐλαφρὰ,
Μὴ καταλείπετε φεύγετε τοὺς γεραιούς·
Αἰσχρὸν γὰρ δὴ τοῦτο, μετὰ προμάχοισι πεσόντα
Κεῖσθαι πρόσθε νέων ἄνδρα παλαιότερον,
Ἤδη λευκὸν ἔχοντα κάρη, πολιόν τε γενείον,
Θυμὸν ἀποπνείοντ' ἄλκιμον ἐν κονίῃ,
Καὶ χρόα γυμνωθέντα· νέοισι δὲ πάντ' ἐπέοικεν,
Ὄφρ' ἄρα τῆς ἥβης ἀγλαὸν ἄνθος ἔχῃ,
Ἀνδράσι μὲν θηητοῖσιν ἰδεῖν, ἐρατὸς δὲ γυναιξὶ,
Ζωὸς ἐὼν καλὸς θ', ἐν προμάχοισι πεσών.
Ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισι
Στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών.

21. Vid. Hom. Iliad. lib. xxii. ver. 71. &c.

Ἐκ

Ἐκ τῆς ΣΑΠΦΟΥΣ, ἐν ΛΟΓΓΙΝΩι.

Φαίνεταί μοι κῆνος ἴσος θεοῖσιν
Ἔμμεν' ὠνὴρ, ὄστις ἐναντίος τοι
Ἰζάνει, καὶ πλασίον ἀδὺ φωνᾶ-
σαί σ' ὑπακούει,

Καὶ γελαίσας ἱμερόεν· τό μοι μὰν
Καρδίαν ἐν στήθεσιν ἐπτόασεν·
Ὡς γὰρ εἴδωσε, βροχέως με φωνᾶς
Οὐδὲν ἔτ' ἴκει.

Ἀλλὰ καμμὲν γλῶσσα ἔαγε, λεπτὸν δ'
Αὐτίκα χρῶ πῦρ ὑποδεδρόμακεν,
Ὀππάτεσσιν δ' οὐδὲν ὄρημ', ἐπιρρόμ-
βεῦσι δ' ἄκουαί·

7. Βροχίως] *Aeolicè dicitur pro* βρωχίως; *et videtur idem hic significare, quod in* βραχεῖ, repente. *Pearcius.*

9. Καμμὲν] *Dicitur Aeolicè pro* κατὰ μὲν, *ita ut* κατὰ *conjungatur cum* ἔαγε. Pearcius. Vossius *in observat. ad* Catullum *p.* 113. *legit* γλῶσσα σίσιγε *Ceterùm videtur Lucretius legisse* ἔαγε, *qui illud per* infringi linguam *interpretatus sit in iis versibus, qui huc respiciunt:*

Sudores itaque et pallorem existere toto
Corpore et *infringi linguam*, vocemque aboriri,
Caligare oculos, sonere aures, succidere artus.
De rerum Nat. lib. iii. ver. 155.

10. *Per vocem* πῦρ *intelligendus est is ignis, qui colorem rubeum in iis qui re aliquâ afficiuntur, efficit: eam enim per* ἐμφυσημα πυρώδες *explicat Plutarchus in Demetrio Poliorc. ubi dicit Antiocho ægrotanti fuisse omnia signa, quæ in sud Ode Sappho notarat; et ex his Medicum reperisse, eum non alio morbo, quam amore, laborasse.* Pearcius.

11. Ὄππατ] *Aeol. pro* ὄμματ.

Καδδ'

ΗΡΙΝΝΑΣ τῆς ΛΕΣΒΙΑΣ ᾠδὴ εἰς Ῥώμην, παρὰ τῷ Στοβαίῳ ἐν τῷ περὶ ἀνδρείας λόγῳ.

ΧΑΙΡΕ μοι, Ῥώμα, θυγάτηρ Ἄρηος,
Χρυσεόμιτρε, δαΐφρων ἄνασσα,
Σεμνὸν ἃ ναίεις ἐπὶ γᾶς ὄλυμπον
Αἰὲν ἄθραυς-ον·

Σοὶ μόνᾳ πρεσβίς-α δέδωκε μοῖρα
Κῦδος ἀῤῥήκλ-ω βασιλῆον ἀρχᾶς,
Ὄφρα κοιρανῆον ἔχοισα κάρ-ος
Ἀγεμονεύῃς.

Σᾷ δ' ὑπὸ ζεύγλᾳ κραιερῶν λεπάδνων
Στέρνα γαίας καὶ πολιᾶς θαλάσσας
Σφίγγεται· σὺ δ' ἀσφαλέως κυβερνᾷς
Ἄς-εα λαῶν.

Πάντα δὲ σφάλλων ὁ μέγις-ος αἰὼν,
Καὶ μεταπλάσσων βίον ἄλλοθ' ἄλλως,
Σοὶ μόνᾳ πλησίς-ιον ἔρον ἀρχᾶς
Οὐ μεταβάλλει.

Ἦ γὰρ ἐκ πάντων σὺ μόνα κραίῖς-ας
Ἄνδρας αἰχμητὰς, μεγάλως, λοχεύεις,
Εὐς-αχυν δάμαρος ὅπως συνοίσῃς
Καρπὸν ἀπ' ἀνδρῶν.

19. Legit Grotius ὅπως συνοίσῃς.

Ἐκ

Ἐκ τῶν ΜΙΜΝΕΡΜΟΥ.

Περὶ βίου, ὅτι βραχύς. ά.

Ἡμεῖς δ', οἷά τε φύλλα φύει πολυάνθεμος ὥρη
Ἥρος, ὅτ' αἶψ' αὐγὴ αὔξεται ἠελίου·
Τοῖς ἴκελοι, πήχυιον ἐπὶ χρόνον ἄνθεσιν ἥβης
Τερπόμεθα, πρὸς θεῶν εἰδότες οὔτε κακὸν,
Οὔτ' ἀγαθόν· κῆρες δὲ παρεστήκασι μέλαιναι·
Ἡ μὲν ἔχουσα τέλος γήραος ἀργαλέου,
Ἡ δ' ἑτέρη θανάτοιο· μινυνθα δὲ γίγνεται ἥβης
Καρπὸς, ὅσον τ' ἐπὶ γῆν κίδναται ἠέλιος.
Αὐτὰρ ἐπὴν δὴ τοῦτο τέλος παραμείψεται ὥρης,
Αὐτίκα δὴ τεθνάναι βελτίον, ἢ βίοτος·
Πολλὰ γὰρ ἐν θυμῷ κακὰ γίγνεται· ἄλλοτε δ' οἶκος
Τρυχοῦται, πενίης δ' ἔργ' ἀδυνηρὰ τέλει.
Ἄλλος δ' αὖ παίδων ἐπιδεύεται, ὧν τε μάλιστα
Ἱμείρων, κατὰ γῆς ἔρχεται εἰς ἀΐδην.
Ἄλλος νοῦσον ἔχει θυμοφθόρον· οὐδέ τις ἐστὶν
Ἀνθρώπων, ᾧ Ζεὺς μὴ κακὰ πολλὰ διδοῖ.

Τοῦ αὐτοῦ. β'. Ψόγος γήρως.

* * * * * *

Ἀλλ' ὀλιγοχρόνιον γίγνεται, ὥσπερ ὄναρ,
Ἧβη τιμήεσσα· τὸ δ' ἀργαλέον καὶ ἄμορφον
Γῆρας ὑπὲρ κεφαλῆς αὐτίχ' ὑπερκρέμαται,

Ἐχθρὸν ὁμῶς καὶ ἄτιμον, ὅ, τ' ἄγνωστον τιθεῖ ἄνδρα,
Βλάπτει δ' ὀφθαλμὸς καὶ νόον ἀμφιχυθέν.
Τιθωνῷ μὲν ἔδωκεν ἔχειν κακὸν ἄφθιτον ὁ Ζεὺς,
Γῆρας, ὃ καὶ θανάτῳ ῥίγιον ἀργαλέῳ.
Τὸ πρὶν ἐὼν κάλλιστος, ἐπὴν παραμείψεται ὥρη,
Οὔτε πατὴρ παισὶν τίμιος, οὔτε φίλοις.

Ἐκ τῶν ΣΟΛΩΝΟΣ ἐλεγειῶν.

β'.

Ἡ Μελέρη δὲ πόλις καλὰ μὲν Διὸς ἔ ποθ' ὀλεῖται
Αἶσαν, καὶ μακάρων θεῶν φρένας ἀθανάτων.
Τοίη γὰρ μεγάθυμος ἐπίσκοπος ὀβριμοπάτρη
Παλλὰς Ἀθηναίη χεῖρας ὕπερθεν ἔχει.
Αὐτοὶ δὲ φθείρειν μεγάλην πόλιν ἁρπαδίῃσιν
Ἀστοὶ βέλονται, χρήμασι πειθόμενοι.

* * * * * *

Οὔθ' ἱερῶν κλεάνων, οὔτέ τι δημοσίων
Φειδόμενοι, κλέπτουσιν ἐφ' ἁρπαγῇ ἄλλοθεν ἄλλος·
Οὐδὲ φυλάσσονται σεμνὰ δίκης θέμεθλα,
Ἣ σιγῶσα σύνοιδε τὰ γιγνόμενα, πρό τ' ἐόντα,
Τῷ δὲ χρόνῳ πάντως ἦλθ' ἀπολισαμένη.

* * * * * *

Οὕτω δημόσιον κακὸν ἔρχεται οἴκαδ' ἑκάστῳ.
Αὐλείων δέ τ' ἔχειν οὐκ ἐθέλουσι θύραι.

Ὑψηλὸν

Ὕψηλὸν δ' ὑπὲρ ἔρχος ὑπέρθορεν, εὗρε δὲ πάντας,
Εἴ κε τις ἢ φεύγων ἐν μύχῳ, ἢ θαλάμῳ.
Ταῦτα διδάξαι θυμὸς Ἀθηναίους με κελεύει,
Ὡς κακὰ πολλὰ πόλει δυσνομία παρέχει.
Εὐνομία δ' εὔκοσμα καὶ ἄρτια πάντ' ἀποφαίνει, 20
Καὶ θαμὰ τοῖς ἀδίκοις ἀμφιλίθησι πέδας,
Τραχέα λειαίνει, παύει κόρον, ὕβριν ἀμαυροῖ,
Αὐαίνει δ' ἄτης ἄνθεα φυόμενα,
Εὐθύνει δὲ δίκας σκολιὰς, ὑπερήφανά τ' ἔργα
Πραΰνει, παύει δ' ἔργα διχοστασίης. 25
Παύει δ' ἀργαλέης ἔριδος χόλον· ἔστι δ' ὑπ' αὐτῆς
Πάντα κατ' ἀνθρώπους ἄρτια καὶ πινυτά.

Ἐκ

Ἐκ τῶν ΣΙΜΩΝΙΔΟΥ.

Εἰς τῶν θνητῶν βίον. ά.

Ὀυδὲν ἐν ἀνθρώποισι μένει χρῆμ' ἔμπεδον αἰεὶ.
Ἓν δὲ τὸ κάλλιςον Χῖος ἔειπεν ἀνήρ·
Ὅιη περ φύλλων γενεὴ, τοιήδε καὶ ἀνδρῶν.
Παῦροί μιν θνητῶν ὄασι δεξάμενοι
Στέρνοις ἐγκατέθεντο· πάρεςι γὰρ ἐλπὶς ἑκάςῳ
Ἀνδρῶν ἥ τε νέων ςήθεσιν ἐμφύεται.
Θνητῶν δ' ὄφρά τις ἄνθος ἔχῃ πολυήρατον ἥβης,
Κοῦφον ἔχων θυμὸν, πολλ' ἀτέλεςα νοεῖ.
Οὐτὲ γὰρ ἐλπιδ' ἔχει γηρασσέμεν, οὐδὲ τ' ἴσασιν
Ὡς χρόνος ἔσθ' ἥβης καὶ βιότου ὀλίγος
Θνητοῖς. Ἀλλὰ σὺ ταῦτα μαθὼν, βιότου ποτὶ τέρμα
Ψυχῇ τῶν ἀγαθῶν τλῆθε χαριζόμενος.

Τοῦ αὐτοῦ, δ'. Εἰς βίον ἀνθρώπινον.

Ὦ παῖ, τέλος μὲν Ζεὺς ἔχει βαρύκτυπος
Πάντων, ὅσ' ἐςὶ, καὶ τιθῆσ' ὅπῃ θέλει.
Νοῦς δ' ἐπ' ἀνθρώποισιν· ἀλλ' ἐφημέροι
Ἀεὶ βροτοὶ δὴ ζῶμεν, οὐδὲν εἰδότες,
Ὅπως ἕκαςον ἐκτελευτήσῃ θεός.
Ἐλπὶς δὲ παντας κάλλεσιν θείη τρέφει,
Ἄπρηκτον ὁρμαίνοντας· οἱ μὲν ἡμέρην

Μένουσιν

Μένυσιν ἐλθεῖν, οἱ δ' ἐτέων περιτροπάς.
Νέωλα δ' ὐδεὶς ὅστις ἐ δοκεῖ βροτῶν
Πλύτῳ τε κἀγαθοῖσιν ἵζεσθαι φίλον.
Φθάνει δὲ τὸν μὲν γῆρας ἄζηλον λαβὸν,
Πρὶν τέρμ' ἱκῆται· τὰς δὲ δύσηνοι νόσοι
Φθείρυσι θνητῶν· τὰς δ' Ἄρει δεδμημένας
Πέμπει μελαίνης Ἀΐδης ὑπὸ χθονός.
Οἱ δ' ἐν θαλάσσῃ λαίλαπι κλονεύμενοι,
Καὶ κύμασιν πολλοῖσε πορφυρῆς ἁλὸς,
Θνήσκυσιν, εὖτ' ἂν μὴ δυνήσωνται ζώειν.
Οἱ δ' ἀγχόνην ἄψαντο δυσήνῳ μόρῳ,
Κ' αὐτάγρετοι λείπυσιν ἠλίου φάος.
Οὕτω κακῶν ἄπ' ὐδέν· ἀλλὰ μυρίαι
Βροτοῖσι κῆρες, κἀνεπίφρασοι δύαι,
Καὶ πήμαθ' ἑτοῖν. εἰ δέ μοι πιθοίατο,
Οὐκ ἄν κακῶν ἐρῷμεν, ὐδ' ἐν ἄλγεσι
Κακοῖς ἔχοντες θυμὸν αἰκιζοίμεθα.

Τῷ αὐτῷ, ἐν ΔΙΟΝΥΣΙΩι περὶ συνθ. Juxta editionem JAC. UPTONI.

Διὰ πιλάγυς φερομένη Δανάη τὰς ἑαυτῆς ἐπὶ τῷ Περσέως τύχας ἀποθύρεται.

Ὅτε λάρνακι ἐν δαιδαλέᾳ ἄνεμος
Βρέμῃ πνέων, κινηθεῖσα δὲ λίμνα

Δείμαι,

Δείμαλι ἔρειπεν, ὕτ' ἀδιώλαισι
Παρειαῖς, ἀμφί τε Περσεῖ βάλλε
Φίλαν χέρα, εἶπέν τε. "Ὦ τέκος,
" Οἷον ἔχω πόνον! σὺ δ' ἀϊδρείῃς, γαλαθηνῷ τ'
" Ἤτορι κνώσσεις ἐν ἀτερπεῖ δώμαλι,
" Χαλκεογόμφῳ δὲ, νυκλιλαμπεῖ,
" Κυανέῳ τε δνόφῳ. Τὺ δ' αὐκλέαν
" Ὑπερθε τεὰν κόμαν βαθεῖαν
" Παριόλος κύμαλος ὐκ ἀλέγεις,
" Οὐδ' ἀνέμε φθόγγον, πορφυρέᾳ
" Κείμενος ἐν χλαινίδι, πρόσωπον καλόν.
" Εἰ δέ τοι δεινὸν τόγε δεινὸν ἦν,
" Καὶ κὲν ἐμῶν ῥημάτων λεπτὸν
" Ὑπείχες ἔας, Κέλομαι, εὖδε, βρέφος,
" Εὐδέτω δὲ πόντος, εὐδέτω ἄμελρον κακόν.
" Μαλαιοβελία δέ τις φανείη,
" Ζεῦ πάτερ, ἐκ σέθ' ὅ, τι δὴ θαρσαλέον
" Ἔπος, εὔχομαι τεκνόφι δῶκας μοι.——

* * * * * *

6. Ἀϊδρεῖς] *Dulcem somnum carpis*, ἀωτίῳ vox Hom. Hoc conjecturâ feliciter assecutus est *Casaubonus*, pro αὖτι.

8. Νυκλιλαμπεῖ] Hanc vocem Sylburgius cum δώμαλι connectit: *domo, cui nox sola illucet, idque tenebrosa.* Nec malè, ut videtur: à quibusdam verò hæc vox ad Lunam, ceu cognomen, refertur, ut quæ idem sit quod Horatii *Noctiluca*.

Ἐκ

Ἐκ τῶν ΘΕΟΓΝΙΔΟΣ ἐλεγ.

Ἄκρόπολις καὶ πύργος ἐὼν κενεόφρονι δήμῳ,
Κύρν', ὀλίγης τιμῆς ἔμμορεν ἐσθλὸς ἀνήρ.
Σοὶ μὲν ἐγὼ πλέρ' ἔδωκα, σὺν οἷς ἐπ' ἀπείρονα πόντον
Πωλήσῃ, καλὰ γῆν πᾶσαν ἀειρόμενος
Ῥηϊδίως· θοίναις δὲ καὶ εἰλαπίνῃσι παρέσσῃ
Ἐν πάσαις, πολλῶν κείμενος ἐν γόμασι.
Καὶ σε σὺν αὐλίσκοισι λιγυφθόγγοις νέοι ἄνδρες
Εὐκόσμ ἐραλοὶ καλά τε καὶ λιγέα
Ἄισονται καὶ ὅταν δνοφέροις ὑπὸ κεύθεσι γαίης,
Βῆς πολυκωκύτους εἰς ἀΐδαο δόμους,
Οὐδέποθ' ὑδὲ θανὼν ἀπολεῖς κλέος, ὐδέ γε λήσεις,
Ἄφθιτον ἀνθρώποις αἰὲν ἔχων ὄνομα,
Κύρνε, καθ' Ἑλλάδα γῆν φωφώμενος, ἠδ' ἀνὰ νήσους,
Ἰχθυόεντα περῶν πόντον ἐπ' ἀτρύγετον,
Οὐχ ἵππων νώτοισιν ἐφήμενος· ἀλλά σε πέμψει
Ἀγλαὰ Μουσάων δῶρα ἰοστεφάνων.
Πᾶσι γὰρ, οἷσι μέμηλε καὶ ἐσσομένοισιν ἀοιδή,
Ἔσσῃ ὁμῶς, ὄφρ' ἂν γῆ τε καὶ ἠέλιος.

Τῷ αὐτῷ.

Οἵ μοι ἐγὼν ἥβης καὶ γήραος ἑλομένοιο,
Τῇ μὲν ἐπερχομένῃ, τῆς δ' ἀπανισσομένης!
Αἶψα γὰρ, ὥστε νόημα, παρέρχεται ἀγλαὸς ἥβη.

Οὐδ' ἵππων ὁρμὴ γίγνεται ὠκυτέρη.
Ὡς μάκαρ εὐδαίμων τε καὶ ὄλβιος, ὅστις ἄπειρος
Ἄθλων εἰς ᾅδου δῶμα μέλαν καταβῇ.
Αὐτίκα μοι κατὰ μὲν χροιὴν ῥέει ἄσπετος ἱδρώς,
Πτοιοῦμαι δ' ἐσορῶν ἄνθος ὁμηλικίης
Τερπνὸν ἅμως καὶ καλόν. ἐπεὶ πλέον ὤφελεν εἶναι
Ἀλλ' ὀλιγοχρόνιον γίγνεσθαι, ὥσπερ ὄναρ,
Ἥβη τιμήεσσα· τὸ δ' ἀλόμενον καὶ ἄμορφον
Αὐτίχ' ὑπὲρ κεφαλῆς γῆρας ὑπερκρέμαται.

Τῷ αὐτῷ.

Εἰρήνη καὶ πλοῦτος ἔχοι πόλιν, ὄφρα μετ' ἄλλων
Κωμάζοιμι· κακῷ δ' οὐκ ἔραμαι πολέμῳ.
Ζεὺς μὲν τῆσδε πόληος ὑπερέχοι, αἰθέρι ναίων,
Αἰεὶ δεξιτερὴν χεῖρ' ἐπ' ἀφημοσύνῃ,
Ἄλλοι τ' ἀθάνατοι μάκαρες θεοί. Αὐτὰρ Ἀπόλλων
Ἀρθρώσαι γλῶσσαν καὶ νόον ἡμέτερον·
Φόρμιγγ' αὖ φθέγγοιθ' ἱερὸν μέλος ἠδὲ καὶ αὐλῷ·
Ἡμεῖς δὲ σπονδὰς θεοῖσιν ἀρεσσάμενοι
Πίνωμεν· χαρίεντα μετ' ἀλλήλοισι λέγοντες,
Μηδὲν τὸν Μήδων δειδιότες πόλεμον.
Ὧδ' εἶναι, καὶ ἄμεινον, εὔφρονα θυμὸν ἔχοντας,
Νόσφι μεριμνάων εὐφροσύνως διάγειν
Τερπομένους, τηλοῦ δὲ κακὰς ἀπὸ κῆρας ἀμῦναι,
Γῆράς τ' ἀλόμενον, καὶ θανάτοιο τέλος.
Ἥβῃ τερπόμενος παίζω· δηρὸν γὰρ ἔνερθεν
Γῆς, ὀλέσας ψυχήν, κείσομαι, ὥστε λίθος,

Ἄφθογγος,

Ἄφθογγος, λείψω δ' ἐραῖον φάος ἠελίοιο·
Ἔμπης δ' ἐσθλὸς ἐὼν ὄψομαι κἀδὴν ἔτι.
Τέρπεό μοι, φίλε θυμέ· τάχ' ἄν τινες ἄλλοι ἔσοιντο
Ἄνδρες, ἐγὼ δὲ θανὼν γαῖα μέλαιν' ἔσομαι.
Αἰεί μοι φίλον ἦτορ ἀγαλλέσθαι, ὁππότ' ἀκούσω
Αὐλῶν φθεγγομένων ἱμερόεσσαν ὄπα.
Χαίρω δ' εὖ πίνων, καὶ ὑπ' αὐλητῆρος ἀκούων.
Χαίρω δ' εὐφθόγγου χρεσὶ λύρην ἐχέων.
Οὐδεὶς ἀνθρώπων, ὃς, ἐπεί ποθε γαῖα καλύψῃ.
Εἰς τ' Ἔρεβος καταβῇ δῶμά τε Περσεφόνης,
Τέρπεται, ἤτε λύρης ἤτ' αὐλητῆρος ἀκούων,
Οὔτε Διωνύσου δῶρ' ἐσαειράμενος.
Ταῦτ' ἐσορῶν, κραδίην εὖ πείσομαι, ὄφρα τ' ἐλαφρὰ
Γύαλα καὶ κεφαλὴν ἀτρομέων ποφέρω.

Περὶ φιλίας.

Κάστορ καὶ Πολύδευκες, οἳ ἐν Λακεδαίμονι δίῃ
Ναίετ' ἐπ' Εὐρώτα καλλιρόῳ ποταμῷ,
Εἴ ποθε βελεύσαιμι φίλῳ κακὸν, αὐτὸς ἔχοιμι.
Εἰ δέ τι κεῖνος ἐμοὶ, δὶς τόσον αὐτὸς ἔχοι.
Ἀργαλέως μοι θυμὸς ἔχει περὶ σῆς φιλότητος·
Οὔτε γὰρ ἐχθαίρειν, ἤτε φιλεῖν δύναμαι,
Γιγνώσκων χαλεπὸν μὲν, ὅταν φίλος ἀνδρὶ γένηται,
Ἔχθαίρειν· χαλεπὸν δ' ὐκ ἐθέλοντα φιλεῖν.

23. Pro ἀκούων legit J. Pierſonus ἀείδων: et in verſu proximè ſequente pro ἐχέων, legit ἰάλλων. Veriſim. p. 226.

ΕΥΡΙΠΙΔΟΥ ἐλεγεῖόν τι.

Ἀνδρομάχη, παρὰ τῷ Νεοπτολέμῳ, φυγοῦσα ἐπὶ τὸ ἱερὸν τῆς Θέτιδος, λέγει τάδε.

ΙΛΙΩι αἰπεινᾶ Πάρις ὑ γάμον, ἀλλά τιν' ἄταν
Ἠγάγετ' εὐναίαν εἰς θαλάμους Ἑλέναν.
Ἄς ἕνεκ', ὦ Τροία, δορὶ καὶ πυρὶ δηϊάλωσαν
Εἷλέ σ' ὁ χιλιόναυς Ἑλλάδος ὠκὺς Ἄρης,
Καὶ τὸν ἐμὸν μελέας πόσιν Ἕκτορα, τὸν περὶ τείχη
Εἵλκυσε διφρεύων παῖς ἀλίας Θέτιδος.
Αὐτὰ δ' ἐκ θαλάμων ἀγόμαν ἐπὶ δῖνα θαλάσσης,
Δυλοσύναν συγερὰν ἀμφιβαλοῦσα πάρα.
Πολλὰ δὲ δάκρυά μοι καθέβα χροὸς, ἄνικ' ἔλειπον
Ἄσυ τε, καὶ θαλάμους, καὶ πόσιν ἐν κονίαις.
Ὦ μοι ἐγὼ μελέα! τί μ' ἐχρῆν ἔτι φέγγος ὁρᾶσθαι,
Ἑρμιόνας δέλαν, ἅς ὕπο τειρομένα
Πρὸς τόδ' ἄγαλμα θεᾶς ἱκέτις περὶ χεῖρε βαλοῦσα
Τάκομαι, ὡς πετρίνα πιδακόεσσα λιβάς.

ΒΑΚΧΥΛΙ-

Digitized by Google

ΒΑΚΧΥΛΙΔΟΥ.

Παρὰ τῷ Στοβαίῳ ἐν τῷ περὶ εἰρήνης λόγῳ, καὶ παρὰ τῷ Πλουτάρχῳ ἐν τῷ τῆ Νεμᾷ βίῳ· Ἐκ τῶν Βακχυλίδε παιάνων.

ΤΙΚΤΕΙ δὲ τε θναλαῖσιν Εἰρήνη μιγάλα,
Πλοῦτον, καὶ μελιγλώσσων ἀοιδῶν ἄνθεα,
Δαιδαλέων τ' ἐπὶ βωμῶν θεοῖσιν αἴθεσθαι βοῶν
Ξανθῷ φλογὶ μηρία, εὐτρίχων τε μήλων·
Γυμνασίων τε νέοις αὐλῶν τε καὶ κώμων μέλει.
Ἐν δὲ σιδαροδέτοισιν πόρπαξιν αἰθῶν ἀραχνᾶν
Ἰσοὶ πέλονται ἔγχεά τε λογχωτὰ,
Ξίφεά τ' ἀμφάκεα εὐρῶς δάμναται χαλκέων
Οὐκέτι σαλπίγγων κλύπος, οὐδὲ συλᾶται μελίφρων ὕπνος
Ἀπὸ βλεφάρων, ἄμος ὃς θάλπει κέαρ.
Συμποσίων δ' ἐραλῶν βρίθουτ' ἀγυιαὶ,
Παιδικοί θ' ὕμνοι φλέγονται.

ΑΡΜΟΔΙΟΥ μέλος, τὸ ἐπὶ Ἁρμοδίῳ ποιηθὲν σκολιὸν ὑπὸ ΚΑΛΛΙΣΤΡΑΤΟΥ, ὅτως ἔλεγον. *Hesychius* in voce Ἁρμοδίε.*

Ἐν μύρτε κλαδὶ τὸ ξίφος φορήσω,
Ὥσπερ Ἁρμόδιος κ' Ἀριστογείτων,

* Athenæus lib. xv. "Σκολιὸν hoc nonnulli Alcæo tribuerunt: "quod temporum ratio non fert. Floruit enim Alcæus annis "circiter 80 ante Hipparchi necem. Sed et auctoris nomen ab "interitu vindicavit Hesychius. Erat autem hoc Σκολιὸν Athe-
"nis

Ὅτε τὸν Τύραννον κλονέτην.
Ἰσονόμους τ' Ἀθήνας ἐποιησάτην.
Φίλταθ' Ἁρμόδι, ἤ τι που τέθνηκας,
Νήσοις δ' ἐν Μακάρων σε φασὶν εἶναι,
Ἵνα περ ποδώκης Ἀχιλεὺς,
Τυδείδην τε φασὶν Διομήδεα.
Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
Ὥσπερ Ἁρμόδιος κ' Ἀριστογείτων,
Ὅτ' Ἀθηναίης ἐν θυσίαις
Ἄνδρα τύραννον Ἵππαρχον ἐκαινέτην.
Ἀεὶ σφῶν κλέος ἔσσεται κατ' αἶαν,
Φίλταθ' Ἁρμόδιε κ' Ἀριστόγειτον,
Ὅτι τὸν Τύραννον κτάνετον,
Ἰσονόμους τ' Ἀθήνας ἐποιήσατον.

"nis ita celebre, ut in omnibus conviviis cantari solitum esset; "quod patet ex Aristoph. Acharn. 977, et ad eum locum Scho- "liaste: item ex ver. 1092. et Lysistrat. 633. Liquet autem ex "ipso Σκολιῷ conjuratos, cum Hipparchum adorirentur, pugio- "nes suos abdidisse in illis myrti ramis, quos, opinor solenne erat "gestari ab omnibus, qui Sacrificio Panathenaico interessent; "quod etiam diserte testatur Aristophanis Scholiastes. Hinc "fortasse ductus est mos, ut qui in convivio Σκολιὸν aliquod can- "taret, semper manu teneret myrti ramum (vid. Plutarch. in "Symp. Quæst. 1.) quod in hoc Σκολιῷ ex re initium habuisse "videtur." *Lowth. Prælect. Poet.* Cujus viri, docti admodum et ingenioſi, distinctionem et emendationes hic libenter sequi- mur.

ΕΚ

ΕΚ

ΒΙΩΝΟΣ ΣΜΥΡΝΑΙΟΥ.

Ἐκ τῆ ΕΠΙΤΑΦΙΟΥ ΑΔΩΝΙΔΟΣ.

Α Γ' Α' Ζ Ω τὸν Ἄδωνιν· ἐπαιάζυσιν Ἔρωτες.
Κεῖται καλὸς Ἄδωνις ἐπ' ὤρεσι, μηρὸν ὀδόντι
Λευκῷ λευκὸν ὀδόντι τυπείς, καὶ Κύπριν ἀνιᾷ
Λεπτὸν ἀποψύχων· τὸ δέ οἱ μέλαν εἴβεται αἷμα
Χιονέας καλὰ σαρκός· ὑπ' ὀφρύσι, δ' ὄμματα ναρκῇ,
Καὶ τὸ ῥόδον φεύγει τῶ χείλεος· ἀμφὶ δὲ τήνῳ
Θνάσκει καὶ τὸ φίλαμα, τὸ μήποτε Κύπρις ἀφήσει·
Κύπριδι μὲν τὸ φίλαμα καὶ ἐ ζώοντος ἀρέσκει·
Ἀλλ' ἦκ οἶδεν Ἄδωνις ὅ μιν θνάσκοντ' ἐφίλασεν.
Αἰ αἰ τὰν Κυθέρειαν, Ἀπώλεσο καλὸς Ἄδωνις.
Ὡς ἴδεν, ὡς ἐνόησεν Ἀδώνιδος ἄσχετον ἕλκος,
Ὡς ἴδε φοίνιον αἷμα μαραινομένῳ περὶ μηρῷ,
Πάχεας ἀμπεπάσασα, κινύρετο, Μεῖνον, Ἄδωνι,
Δύσπολε μεῖνον Ἄδωνι, πανύστατον ὥς σε κιχείω,
Ὡς σε περιπλύξω, καὶ χείλεα χείλεσι μίξω.
Ἔγρεο τυτθὸν Ἄδωνι, τὸ δ' αὖ πύμα τόν με φίλασον.
Ἐκ δὲ πίω τὸν ἔρωτα· φίλαμα δὲ τοῦτο φυλάξω
Ὡς αὐτὸν τὸν Ἄδωνιν· ἐπεὶ σύ με, δύσμορε, φεύγεις,

Φεύγεις

Φεύγεις μακρὸν, Ἄδωνι, καὶ ἔρχεαι εἰς Ἀχέροντα
Καὶ ϛυγνὸν βασιλῆα καὶ ἄγριον· ἃ δὲ τάλαινα
Ζώω, καὶ θεὸς ἐμμὶ, καὶ ὐ δύναμαί σε διώκειν.
Λάμβανε, Περσεφόνα, τὸν ἐμὸν πόσιν, ἐσσὶ γὰρ αὐτὰ
Πολλὸν ἐμεῦ κρείσσων· τὸ δὲ πᾶν καλὸν ἐς σὲ καταῤῥεῖ.
Θνάσκεις, ὦ τριπόθατε· πόθος δέ μοι, ὡς ὄναρ, ἔπτη.
Σοὶ δ' ἅμα κεϛὸς ὄλωλε· τί γὰρ, τολμηρὲ, κυνάγεις;
Καλὸς ἐὼν τοσσοῦτον ἐμήνας θηρσὶ παλαίειν;
Ὧδ' ὀλοφύρατο Κύπρις· ἐπαιάζουσιν Ἔρωτες.
Αἶ αἶ τὰν Κυθέρειαν· Ἀπώλετο καλὸς Ἄδωνις.
Δάκρυον ἁ Παφίη τόσον ἐκχέει, ὅσσον Ἄδωνις
Αἷμα χέει· τὰ δὲ πάντα ποτὶ χθονὶ γίγνεται ἄνθη·
Αἷμα ῥόδον τίκτει· τὰ δὲ δάκρυα τὰν ἀνεμώναν.
Αἰάζω τὸν Ἄδωνιν· Ἀπώλετο καλὸς Ἄδωνις.
Μηκέτ' ἐνὶ δρυμοῖσι τὸν ἀνέρα μύρεο, Κύπρι·
Ἔϛ' ἀγαθά ϛιβὰς, ἔϛιν Ἀδώνιδι φυλλὰς, ἑτοίμα.
Λέκτρον ἔχει, Κυθέρεια, τὸ σὸν τόδε νεκρὸς Ἄδωνις.
Καὶ νέκυς ὢν καλός ἐϛι, καλὸς νέκυς, οἷα καθεύδων.
Κέκλιται ἁβρὸς Ἄδωνις ἐν εἵμασι πορφυρέοισιν.
Ἀμφὶ δέ μιν κλαίοντες ἀναϛενάχουσιν Ἔρωτες,
Κειράμενοι χαίτας ἐπ' Ἀδώνιδι· χὠ μὲν ὀϊϛὼς,
Ὃς δ' ἐπὶ τόξον ἔβαιν', ὃς δ' εὔπτερον ἄγε φαρέτρην,
Χὠ μὲν ἔλυσε πέδιλον Ἀδώνιδος· ὃς δὲ λέβησι
Χρυσείοις φορέησιν ὕδωρ· ὁ δὲ μηρία λούει.
Ὃς δ' ὄπιθεν πτερύγεσσιν ἀναψύχει τὸν Ἄδωνιν.
Αὐτὰν τὰν Κυθέρειαν ἐπαιάζουσιν Ἔρωτες.

19. Pro ἔρχεαι legit οἴχεαι J. Piersonus in Verisim. p. 54.

Ἔσβεσε

Ἔσβεσε λαμπάδα πᾶσαν ἐπὶ φλιαῖς Ὑμέναιος,
Καὶ σίφος ἐξεπέταστε γαμήλιον· ἄκετι δ' Ὑμὰν,
Ὑμὰν ἄκετ'· ἀειδόμενον μέλος, ἄδελφαι αἰ αἰ.
Αἱ Χάριτες κλαίουσι τὸν υἱέα τῶ Κινύρεο,
Καί μιν ἐπαείδουσιν. ὁ δέ σφισὶν ἄκ ἐπακούει,
Οὐ μὰν ἄκ ἐθέλει, κῶρα δέ μιν ἄκ ἀπολύει.

45. Pro Ἐξεπέταστε legit Pierſonus ἐξεπέδασσε, Veriſim. p. 56.
49. Κόρα] Proſerpina à Græcis dicebatur κόρη, unde feſta in ejus honorem inſtituta κόρια.

Digitized by Google

ΕΚ

ΜΟΣΧΟΥ.

Ἐκ τῦ ΕΠΙΤΑΦΙΟΥ ΒΙΩΝΟΣ.

ΑΡΧΕΤΕ, Σικελικαὶ, τῶ πένθεος, ἄρχε[τε, Μοῖσαι.
Ἀδόνες, αἱ πυκινοῖσιν ὀδυρόμεναι πο[ὶ φύλλοις,
Νάμασι τοῖς Σικελοῖς ἀγγείλα[τε τᾶς Ἀρεθοίσας,
Ὅτ[ι Βίων τέθνακεν ὁ βωκόλος, ὅτ[ι σὺν αὐτῷ
Καὶ τὸ μέλος τέθνακε, καὶ ὤλε[το Δωρὶς ἀοιδά.
Ἄρχε[τε, Σικελικαὶ, τῶ πένθεος, ἄρχε[τε, Μοῖσαι.
Κεῖνος ὁ ταῖς ἀγέλαισιν ἐράσμιος οὐκέτι μέλπει,
Οὐκέτ' ἐρημαίῃσιν ὑπὸ δρυσὶν ἥμενος ᾄδει·
Ἀλλὰ παρὰ Πλυτῆϊ μέλος λάθαιον ἀείδει.
Ὦρεα δ' ἐσὶν ἄφωνα, καὶ αἱ βόες, αἱ πο[ὶ ταύροις
Πλασδόμεναι γοάονσι, καὶ οὐκ ἐθέλου[σι νέμεσθαι.
Ἄρχε[τε, Σικελικαὶ, τῶ πένθεος, ἄρχε[τε, Μοῖσαι.
Σεῖο, Βίων, ἔκλαυσε ταχὺν μόρον αὐτὸς Ἀπόλλων,
Καὶ Σάτυροι μύρονλο, μελάγχλαινοί τε Πρίηποι·
Ἀχὼ δ' ἐν πέτρῃσιν ὀδύρε[ται, ὅτ[ι σιωπῇς,

Κὐκέτι

Κὐκέτι μιμεῖται τὰ σὰ χείλεα· σῷ δ' ἐπ' ὀλέθρῳ
Δένδρεα καρπὸν ἔριψε, τὰ δ' ἄνθεα πάντ' ἐμαράνθη.
Ἄρχετε, Σικελικαὶ, τῷ πένθεος, ἄρχετε, Μοῖσαι.
Τίς ποτε σᾷ σύριγγι μελίξεται, ὦ τριπόθατε;
Τίς δ' ἐπὶ σοῖς καλάμοις θάσει χόμα; τίς θρασὺς ἔτως;
Εἰσέτι γὰρ πνείει τὰ σὰ χείλεα καὶ τὸ σὸν ἄσθμα.
Ἀχὼ δ' ἐν δονάκεσσι τεὰς ἐπιβόσκετ' ἀοιδάς.
Πανὶ φέρω τὸ μέλισμα· τάχ' ἂν κἀκεῖνος ἐρεῖσαι
Τὸ χόμα δειμαίνοι, μὴ δεύτερα σεῖο φέρηται.
Ἄρχε[ε], Σικελικαὶ, τῷ πένθεος, ἄρκε[ε], Μοῖσαι.
Κλαίει καὶ Γαλάτεια τὸ σὸν μέλος, ἂν ποκ' ἔτερπες
Ἐσδομέναν περὶ σεῖο παρ' ἠϊόνεσσι θαλάσσης.
Οὐ γὰρ ἴσον Κύκλωπι μελίσδεο· τὸν μὲν ἔφευγεν
Ἁ καλὰ Γαλάτεια· σέ δ' ἄδιον ἀπέβλεπεν ἄλμας·
Καὶ νῦν λασαμένα τῷ κύματος, ἐν ψαμάθοισιν
Ἔσδετ' ἐρημαίαισι, βόας δ' ἔτι σεῖο νομεύει.
Ἄρχετε, Σικελικαὶ, τῷ πένθεος, ἄρχετε, Μοῖσαι.
Πάντα τοι, ὦ βώτα, ξυγκάθανε δῶρα τὰ Μοισᾶν,
Καὶ συγνὸν περὶ σᾶμα τεὸν κλαίουσιν Ἔρωτες.
Τοῦτό τοι, ὦ πο[λ]αμῶν λιγυρώτα[ε], δεύτερον ἄλγος·
Τῆτο, Μέλη, νέον ἄλγος· ἀπώλετο πρᾶν τοι Ὅμηρος,
Τῆνο τὸ Καλλιόπας γλύκερον χόμα· καὶ σε λέγοντι
Μύρεσθαι καλὸν υἷα πολυκλαύτοισι ῥείθροις,
Πᾶσαν δ' ἔπλησας φωνᾶς ἄλα· νῦν πάλιν ἄλλον
Τίέα δακρύεις, καινῷ δ' ἐπὶ πένθει τάκη.
Ἀμφότεροι παγαῖς πεφιλαμένοι· ὃς μὲν ἔπινε

ΠΙΝΔΑΡΟΥ ΟΛΥΜΠ. Α'.

Ἱέρωνι ΣΥΡΑΚΟΥΣΙΩ Κέλητι.

Hæc Ode in laudem Hieronis Regis Syracusanorum, qui in Olympicis vicerat, est conscripta. Eundem prædicat à Justitiâ, Sapientiâ, Musices peritiâ. Præterea equum, quo victoriam retulit, et locum, ubi Olympica certamina agebantur, celebrat. Ab eo loco, nimirum Peloponneso, occasionem arripit digrediendi ad vulgatam de Tantalo et Pelope fabulam; unde ad Hieronem regressus, felicitatem, quæ sequitur Olympionicas, præponit. Postremò, concludit hanc Odam voto; ut Deus gloriam et dignitatem regiam Hieroni tueatur, et Poëtam in studio celebrandi victores conservet.

στροφὴ ά. κώλων ιζ'.

Ἄ ΡΙΣΤΟΝ μὲν ὕδωρ· ὁ δὲ
χρυσὸς, αἰθόμενον πῦρ
ἅτε διαπρέπει νυ-
κτὶ, μεγάνορος ἐξοχα πλούτου.
εἰ δ' ἄεθλα γαρύειν
ἔλδεαι, φίλον ἦτορ,
μηκέθ' ἁλίου σκόπει
ἄλλο θαλπνότερον
ἐν ἁμέρᾳ φαεινὸν ἄστρον,
ἐρήμας δὶ αἰθέρος.
μήδ' Ὀλυμπίας ἀγῶνα

φέρτερον

φέρτερον αὐδάσομεν·
ὅθεν ὁ πολύφατος
ὕμνος ἀμφιβάλλεται
σοφῶν μητίεσσι, κελαδεῖν
Κρόνου παῖδ', ἐς ἀφνεὰν ἱκομένους
μάκαιραν Ἱέρωνος ἑςίαν·

ἀντιςροφὴ ά. κώλων ιζ'.

θεμιςεῖον ὃς ἀμφέπει
σκᾶπτον ἐν πολυμάλῳ
Σικελίᾳ, δρέπων μὲν
κορυφὰς ἀρετᾶν ἀπὸ πασᾶν·
ἀγλαΐζεται δὲ καὶ
μουσικᾶς ἐν ἀώτῳ,
οἷα παίζομεν φίλαν
ἄνδρες ἀμφὶ θαμὰ
τράπεζαν. Ἀλλὰ Δωρίαν ἀ-
πὸ φόρμιγγα πασσάλου
λάμβαν', εἴ τι τοι Πίσας τε
καὶ * Φερενίκου χάρις
νόον ὑπὸ γλυκυτά-
ταις ἔθηκε φροντίσιν·
ὅτε παρ' Ἀλφεῷ σύτο, δέμας
ἀκέντητον ἐν δρόμοισι παρέχων,
κράτει δὲ προσέμιξε δεσπόταν

* Ὄνομα τοῦ νικήσαντος ἵππου. *Schol.*

Συρακό-

ἐπῳδὸς ά. κώλων ιγ'.

Συρακόσιον, ἱπποχάρμαν
βασιλῆα. Λάμπει
δέ οἱ κλέος παρ' εὐάνορι Λυδῶν
Πέλοπος ἀποικίᾳ· τᾷ μεγασθενὴς
ἐράσσαλο γαιάοχος Ποσειδῶν,
ἐπεί νιν καθαρᾷ λέβητος ἔξελεν
Κλωθώ, ἐλέφαντι φαίδιμον
ὦμον πεκαδμένον.
Ἦ θαύμαλα πολλὰ
καὶ πᾳ τι καὶ βροτῶν φρένας
ὑπὲρ τὸν ἀληθῆ λόγον
δεδαιδαλμένοι ψεύδεσι ποικίλοις
ἐξαπαλῶνλι μῦθοι·

στροφὴ β'. κώλων ιζ'.

Χάρις δ', ἅπερ θέλπλα τεύ-
χει τὰ μείλιχα θνατοῖς,
ἐπιφέροισα τιμὰν,
καὶ ἄπιστον ἐμήσαλο πιστὸν
ἔμμεναι τὸ πολλάκις.
ἀμέραι δ' ἐπίλοιποι,
μάρτυρες σοφώταλοι.
Ἔστι δ' ἀνδρὶ φάμεν
ἐοικὸς ἀμφὶ Δαιμόνων κα-
λά· μείων γὰρ αἰτία.

τιὲ

Υἱὲ Ταντάλου, σὲ δ', ἀντί-
α προτέρων, φθέγξομαι,
ὁ πότ' ἐκάλεσε πα-
τὴρ τὸν εὐνομώτατον
ἐς ἔρανον, φίλαν τε * Σίπυλον,
ἀμοιβαῖα Θεοῖσι δεῖπνα παρέχων,
τότ' Ἀγλαοτρίαιναν ἁρπάσαι,

ἀντίστροφὴ β'. κώλων ιζ'.

δαμέντα φρένας ἱμέρῳ,
χρυσέαισί τ' ἀν' ἵπποις
ὕπατον εὐρυτίμου
ποτὶ δῶμα Διὸς μεταβᾶσαι·
ἔνθα δευτέρῳ χρόνῳ
ἦλθε καὶ Γανυμήδης
Ζηνὶ τοῦτ' ἐπὶ χρέος.
ὡς δ' ἄφαντος ἔπε-
λες, οὐδὲ ματρὶ πολλὰ μαιό-
μενοι φῶτες ἄγαγον·
ἔννεπε κρυφᾶ τις αὐτί-
κα φθονερῶν γειτόνων,
ὕδατος ὅτι τε πυ-
ρὶ ζέοισαν ἀμφ' ἀκμὰν
μαχαίρᾳ τάμον κατὰ μέλη,
τραπέζαισί τ' ἀμφιδεύτατα κρεῶν
σέθεν διεδάσαντο, καὶ φάγον.

* Οἱ μὲν πόλεως ὄνομα. οἱ δὲ ὄρος περὶ τὴν Λυδίαν. *Schol.*

ἐπῳδὸς β'. κώλων ιγ'.

Ἐμοὶ δ' ἄπορα, γαςρίμαργον
μακάρων τιν' εἰπεῖν.
ἀφίςαμαι· ἀκέρδεια λέλογχεν
θαμινὰ κακαγόρως. Εἰ δὲ δὴ τιν' ἄν-
δρα θνατὸν Ὀλύμπȣ σκοποὶ ἐτίμα-
σαν, ἦν Τάνταλος ȣ̃τος· ἀλλὰ γὰρ κατα-
πέψαι μέγαν ὄλβον ȣ̓κ ἐδυ-
νάσθη· κόρῳ δ' ἕλεν
ἄταν ὑπέροπλον,
τάν οἱ πατήρ ὑπερκρέμα-
σε, καρτερὸν αὐτῷ λίθον,
τὸν αἰεὶ μενοινῶν κεφαλᾶς βαλεῖν,
ἐυφροσύνας ἁλᾶται.

ςροφὴ γ'. κώλων ιζ'.

ἔχει δ' ἀπάλαμον βίον
τȣ̃τον, ἐμπεδόμοχθον
μετὰ * τριῶν τέταρτον
πόνον· ἀθανάτων ὅτι κλέψας
ἁλίκεσσι συμπόταις
νέκταρ ἀμβροσίαν τε
δῶκεν, οἷσιν ἄφθιτον

* Ἢ ὅτι ἐν ᾅδȣ μετὰ τριῶν τέταρτος κολάζεται, Σισύφȣ, Τιτύȣ, καὶ Ἰξίονος· ἢ ὅτι μετὰ τριῶν, τῶν πεινῆν, διψῆν, ἑςᾶναι, τέταρτον πόνον τȣ̃τον ἔχει, τὸ τῷ λίθῳ κολάζεσθαι. *Schol. Ex his Schol. interpretationibus posteriorem Editores Oxoniens. secuti sunt.*

θέσσαν·

θέσσαν· εἰ δὲ θεὸν
ἀνὴρ τις ἔλπεται τι λασέ-
μεν ἔρδων, ἀμαρτάνει.
τένεκα προῆκαν υἱὸν
ἀθάνατοί οἱ πάλιν
μετὰ τὸ ταχύπολμον
αὖθις ἀνέρων ἔθνος. τᾶμος
πρὸς εὐάνθεμον δ' ὅτε φυὰν
λάχναι νιν μέλαν γένειον ἔρεφον,
ἑτοῖμον ἀνεφρόντισεν γάμον
ἀντιστροφὴ γ'. κώλων ιζ'.
* Πισάτα παρὰ πατρὸς ἔυ-
δοξον Ἱπποδάμειαν
σχεθέμεν· ἄγχι δ' ἐλθὼν
πολιᾶς ἁλὸς οἷος ἐν ὄρφνᾳ
ἄπυεν βαρύκτυπον
Εὐτρίαιναν· ἔδ' αὐτῷ
παρ' ποσὶ σχεδὸν φάνη.
τῷ μὲν εἶπε· φίλι-
α θῶρα Κυπρίας, ἄγ', εἴ τις
Ποσείδαον, ἐς χάριν
τέλλεαι, πέδασον ἔγχος
Οἰναμάου χάλκεον·
ἐμὲ δ' ἐπὶ ταχυπά-
των πόρευσον ἁρμάτων
ἐς Ἅλιν, κράτει δὲ πέλασον,

* Τῇ Οἰνομάῳ τῆς Πίσης βασιλίσσης. *Schol.*

ἐπῳδὸς δ'. κώλων ιγ'.

σὺν ἅρματι θοῷ κλείζειν,
ἐπίκυρον εὑρὼν
ὁδὸν λόγων, παρ' εὐδείελον ἐλθὼν
* Κρόνιον. Ἐμοὶ μὲν ὦν μοῖσα καρτερώ-
τατον βέλος ἀλκᾷ τρέφει· ἐπ' ἄλλοι-
σι δ' ἄλλοι μεγάλοι· τὸ δ' ἔσχατον κορυ-
φῦται βασιλεῦσι. Μηκέτι
πάπταινε πόρσιον.
εἴη σέ τε τοῦτον
ὑψοῦ χρόνον πατεῖν, ἐμέ
τε τοσσάδε νικαφόροις
ὁμιλεῖν, πρόφαντον σοφίᾳ καθ' Ἕλ-
λανας ἐόντα παντᾶ.

* Τὸ δὲ Κρόνιον, ἀκρωτήριον τῆς Πίσης. Schol. *Unde apud Lycophr de Olymp. certamine*, Κρόνου παρ' αἰπὺν ὄχθον. *Lyc*, v. 24.

Θήρωνι

Θήρωνι ΑΚΡΑΓΑΝΤΙΝΩι, Ἄρματι.

Laudatur Theron Agragentinus, Tyrannus, à victoriâ quam quadrijugo curru in Olympiis est adeptus; item à justitiâ, liberalitate, fortitudine, et majorum claritudine: quorum fortunam occasione sumptâ attingit. Tum digressiones ad Semelen, Inonem, Peleum, Achillem, aliosque intertexit: atque obiter loca Beatorum, et Damnatorum apud inferos designat. Tandem concludit Odam, sui carminis, et Theronis liberalitis, laude.

ςροφὴ ά. κώλων ιδ'.

Ἀ Ναξιφόρμιγγες ὕμνοι,
τίνα θεὸν, τίν' ἥρωα,
τίνα δ' ἄνδρα κελαδήσομεν;
ἤτοι Πίσα μὲν Διὸς·
Ὀλυμπιάδα δ' ἔςα-
σεν Ἡρακλέης,
* ἀκρόθινα πολέμου·
Θήρωνα δὲ τετραορίας
ἕνεκα νικαφόρου
γεγωνητέον ὀπὶ,
δίκαιον ξένον,
ἔρεισμ' Ἀκράγαντος,
εὐωνύμων τε πατέρων
ἀώτον, ὀρθόπολιν·

* Πρὸς Ἀνγέαν πολεμήσας τὸν Ἤλιδος τύραννον, καὶ νικήσας, ἐκ τῆς λαφυραγωγίας τὰς ἀπαρχὰς τῶν λαφύρων προσαγαγὼν, ἔκτισε τὸν ἀγῶνα. Schol.

ἀντιςροφὴ

ἀντιστροφὴ ά. κώλων ιδ.

καμόντες οἱ πολλὰ θυμῷ,
ἱερὸν ἔσχον οἴκημα
πολαμᾶς, Σικελίας τ' ἔσαν
ὀφθαλμός· αἰών τ' ἔφε-
πε μόρσιμος, πλοῦτόν
τε καὶ χάριν ἄγων
γνησίαις ἐπ' ἀρεταῖς.
Ἀλλ' ὦ Κρόνιε, πᾶι Ῥέας,
ἕδος ὀλύμπου νέμων,
ἀέθλων τὲ κορυφὰν,
πόρον τ' Ἀλφεοῦ,
ἰανθεὶς ἀοιδαῖς,
εὔφρων ἄρμαν ἔτι πα-
τρίαν σφίσιν κόμισον

ἐπῳδὸς ά. κώλων ή.

λοιπῷ γένει· τῶν δὲ πεπραγμένων,
ἐν δίκᾳ τε καὶ παρὰ δίκαν,
ἀποίητον ἐδ' ἂν
χρόνος, ὁ πάντων πατὴρ,
δύναιτο θέμεν ἔργων τέλος.
Λάθα δὲ πότμῳ σὺν εὐδαίμονι γένοιτ' ἄν.
Ἑσλῶν γὰρ ὑπὸ χαρμάτων,
πῆμα θυάσκει παλίγκοτον, δαμασθέν,

στροφὴ

στροφὴ β'. κώλων ιδ'.

ὅταν θεῦ μοῖρα πέμπῃ
ἀνέκας ὄλβον ὑψηλὸν.
Ἕπεται δὲ λόγος εὐθρόνοις
Κάδμοιο * κύραις, ἔπα-
θον αἰ μεγάλα. Πένθος
δὲ πίνει βαρὺ
κρεσσόνων πρὸς ἀγαθῶν.
Ζώει μὲν ἐν Ὀλυμπίοις,
ἀποθανοῖσα βρόμῳ
κεραυνῦ, τανυέθει-
ρα Σεμέλα· φιλεῖ
δὲ μιν Παλλὰς αἰεὶ,
καὶ Ζεὺς πατὴρ μάλα· φιλεῖ
δὲ παῖς ὁ κισσοφόρος.

ἀντιστροφὴ β'. κώλων ιδ'.

Λέγουσι δ' ἐν καὶ θαλάσσᾳ
μετὰ κόραισι Νηρῆος
ἁλίαις, βίοτον ἄφθιτον
Ἰνοῖ τελάχθαι τὸν ὅ-
λον ἀμφὶ χρόνον. Ἦτοι
Βροτῶν κέκριται
πεῖρας ἔτι θανάτῳ,
ἐδ', ἀσύχιμον ἀμέραν

* Τούτων δὲ μέμνηται, ἐπεὶ ὁ Θήρων εἰς Λάϊον ἀνάγει τὸ γένος. Sch.

ὁπότε, παῖδ' ἀλίᾳ,
ἀτειρεῖ σὺν ἀγαθῷ
τελευτάσομεν.
Ῥοαὶ δ' ἄλλοτ' ἄλλαι
εὐθυμιᾶν τε μέτα καὶ
πόνων, ἐς ἄνδρας ἔβαν.

ἐπῳδὸς γ'. κώλων ἑ.

Οὕτω δὲ μοῖρ', ἅτε παλρώϊον
τῶνδ' ἔχει τὸν εὔφρονα πότμον,
θεόρτῳ σὺν ὄλβῳ
ἐπὶ τι καὶ πῆμ' ἄγει
παλινλράπελον ἄλλῳ χρόνῳ·
ἐξ ἅ περ ἔκλεινε Λάϊον μόριμος υἱὸς
συναλόμενος, ἐν δὲ Πυ-
θῶνι χρησθὲν παλαίφατον τέλεσσεν.

στροφὴ γ'. κώλων ιδ'.

Ἰδοῖσα δ' ὀξεῖ Ἐριννὺς
πέφνεν ἑοῖ σὺν ἀλλαλο-
φονίᾳ γένος ἀρήϊον.
Λείφθη δὲ Θέρσανδρος ἐ-
ριπόντι Πολυνείκει,
νέοις ἐν ἀέθλοις
ἐν μάχαις τε πολέμου
τιμώμενος, Ἀδρασιδᾶν
θάλος ἀρωγὸν δόμοις.

Ὄθεν

Ὅθεν σπέρμα[τος ἔχον-
τα ῥίζαν, πρέπει
τὸν * Αἰνησιδάμᾳ
ἐγκωμίων τε μελέων
λυρᾶν τε τυγχανέμεν·

ἀντιστροφὴ γ'. κώλων ιθ'.

Ὀλυμπίᾳ μὲν γὰρ αὐτὸς
γέρας ἔδεκ[το. Πυθῶνι
δ' ὁμόκλαρον ἐς ἀδελφεὸν,
Ἰσθμοῖ τε, κοιναὶ χάρι-
τες ἄνθεα τεθρίππων
δυωδεκαδρόμων
ἄγαγον. Τὸ δὲ τυχεῖν,
πειρώμενον ἀγωνίας,
παραλύει δυσφρόνων.
Ὁ μὲν πλοῦτος ἀρε[ταῖς
δεδαιδαλμένος
φέρει τῶν τε καὶ τῶν
καιρὸν, βαθεῖαν ὑπέχων
μέριμναν ἀγρο[έραν·

ἐπῳδὸς γ'. κώλων ή.

ἀσὴρ ἀρίζηλος, ἀλαθινὸν
ἀνδρὶ φέγγος. Εἰ δέ μιν ἔχει
τις, οἶδεν τὸ μέλλον,

* Αἰνησίδαμος παῖς Θήρωνος. Schol.

ὅτι θανόντων μὲν ἐν-
θάδ' αὐτίκ' ἀπάλαμνοι φρένες
ποιναὶς ἔτισαν. Τὰ δ' ἐν τᾷδε Διὸς ἀρχᾷ
ἁλίρραι, καλὰ γᾶς δικά-
ζει τις, ἐχθρᾷ λόγων φράσας ἀπάγκᾳ.

στροφὴ δ'. κώλων ιδ'.

ἴσον δὲ νύκτεσσιν αἰεὶ,
ἴσα δ' ἐν ἁμέραις ἄλι-
σον ἔχοντες, ἀπονέστερον
ἐσθλοὶ νέμονται βίο-
τον, ὐ χθόνα ταράσσον-
τες ἀλκᾷ χερῶν, λοιπὸν
οὐδὲ πόντιον ὕδωρ,
κείνᾳν παρὰ δίαιταν· ἀλ-
λὰ παρὰ μὲν τιμίοις
θεῶν, οἵτινες ἔχαι-
ρον εὐορκίαις,
ἄδακρυν νέμονται
αἰῶνα· τοὶ δ' ἀπροσόρα-
τον ὀκχέουσι πόνον.

ἀντιστροφὴ δ'. κώλων ιδ'.

Ὅσοι δ' ἐτόλμασαν ἐς τρὶς

Ὅσοι δὲ ἐκαρτέρησαν μίαν τριῶν ἐμψυχωσεῶν εἰς ἑκάτερα τὰ μέρη, εἴς τε τὸν ἐν ᾅδου μετὰ θάνατον, εἴς τε τὸν τῆς ζωῆς χρόνον δίκαιοι γενέσθαι, οὗτοι ἐστάλησαν εἰς ἣν ἔταξεν ὁ Ζεὺς, ὃ ἐστὶν εἰς τὰς μακάρων νήσους, ἔνθα Κρόνος ἔχει τὴν ἐκεῖ καλοίκησιν. Τῇ δὲ τῆ Πυθαγόρου γνώμῃ ἀκολουθεῖ νῦν ὁ Πίνδαρος. Schol.

ἐκαρτέρησαν

ἐκαλέρωθι μείναντες,
ἀπὸ πάμπαν ἀδίκων ἔχειν
ψυχὰν, ἔτειλαν Διὸς
ὁδὸν παρὰ Κρόνου τύρ-
σιν· ἔνθα μακάρων
νᾶσον ὠκεανίδες
αὖραι περιπνέουσιν· ἄν-
θεμα δὲ χρυσῷ φλέγει,
τὰ μὲν χερσόθεν, ἀπ' ἀ-
μφιδρύφλαων δενδρέων,
ὕδωρ δ' ἄλλα φέρβει·
ὅρμοισι τῶν χέρας ἀνα-
πλέκοντι καὶ στεφάνοις·

ἐπῳδὸς δ'. κώλων ή.

βυλαῖς ἐν ὀρθαῖς Ῥαδαμάνθυος·
ὃν πατὴρ ἔχει Κρόνου ἑταῖ-
μον αὐτῷ παρέδρου,
πόσις ὃ πάντων Ῥέας
ὑπέρτατον ἐχούσας θρόνων.
Πηλεύς τε καὶ Κάδμος ἐν παῖσιν ἀριθμοῦνται·
Ἀχιλλέα τ' ἔνεικε, ἐπεὶ
Ζηνὸς ἦτορ λιταῖς ἔπεισε, μάτηρ·

στροφὴ έ. κώλων ιδ'.

Ὃς Ἕκτορ' ἔσφαλε, Τροίας
ἄμαχον ἀσταβῆ κίο-
να· Κύκνου τε θανάτῳ πόρεν·

Ἀῦς τε παῖδ' Αἰθίο-
πα. Πολλά μοι ὑπ' ἀγνῶ-
νος ὠκέα βέλη
ἔνδον ἐντὶ φαρέτρας
φωνᾶντα συνετοῖσιν· ἐς
δὲ τὸ πᾶν, ἑρμηνέων
χατίζει. Σοφὸς ὁ πολ-
λὰ εἰδὼς φυᾷ·
μαθόντες δὲ, λάβροι
παγγλωσσίᾳ, κόρακες ὣς,
ἄκραντα γαρύετον,

ἀντιστροφὴ ε'. κώλων ιδ'.

Διὸς πρὸς ὄρνιχα θεῖον.
Ἔπεχε νῦν σκοπῷ τόξον,
ἄγε, θυμέ. Τίνα βάλλομεν
ἐκ μαλθακᾶς αὖτε φρε-
νὸς εὐκλέας ὀϊστὺς
ἱέντες; ἐπὶ τοι
Ἀκράγαντι τανύσαις,
αὐδάσομαι ἐνόρκιον
λόγον ἀλαθεῖ νόῳ,
τεκεῖν μήτιν' ἑκατὸν
γε ἐτέων πόλιν,
φίλοις ἄνδρα μᾶλλον
εὐεργέταν πραπίσιν, ἀ-
φθονέστερόν τε χέρα,

ἐπῳδὸς

ἐπῳδὸς ἑ. κώλωϑ ἡ.

Θήρωνος· ἀλλ' αἶνον ἔβα κόρος
ϑ' δίκᾳ συναντόμενος, ἀλ-
λὰ μάργων ὑπ' ἀνδρῶν
τὸ λαλαγῆσαι ϑέλων,
κρύφον τε ϑέμεν ἐσθλῶν κακοῖς
ἔργοις· ἐπεὶ ψάμμος ἀρίθμον περιπέφευγεν·
ἐκεῖνος ὅσα χάρματ' ἄλ-
λοις ἔθηκεν, τίς ἂν φράσαι δύναιτο;

ΠΙΝΔ. ΟΛ. ΕΙΔ. Ε'.

ΨΑΥΜΙΔΙ, ΤΕΘΡΙΠΠΩι, ΑΠΗΝΗι, καὶ ΚΕΛΗΤΙ.

Prædicatur triplex victoria Psaumidis, qui circiter 82 Olympiade victor evasit celete, curru mulari, et quadrigis: unde patriæ et parentibus peperit gloriam: neque fuit ingratus erga Deos, quos sacris honoravit. Postea preces Jovi offert Poëta pro Camarinæ, et Psaumidis felicitate.

στροφὴ ἀ. κώλων ιϑ'.

Ὑ Ψηλᾶν ἀρετᾶν καὶ
στεφάνων ἄωτον γλυκὺν
τῶν Ὀλυμπίᾳ,
Ὠκεανὲ ϑύγατερ,
καρδία γελανεῖ
ἀκαμαντόποδός τ' ἀπήνας δέκευ

Ψαύμιδος

Ψαύμιδός τε δῶρα·
Ὅς τὰν σὰν πόλιν αὔξων,
Καμαρίνα, λαοφόρον,
βωμὸς * ἐξ διδύ-
μους ἐγέραρεν ἑορ-
ταῖς θεῶν, μεγίσταις
ὑπὸ βαθυσίαις, ἄεθλόν τε πεμπ-
ταμέροις ἀμίλλαις,
ἵππους, ἡμιόνους τε, μοναμπυκί-
α τε. Τὶν δὲ κῦδος
ἄβρὸν νικήσας ἀνέθηκε, καὶ
ἐν πατρὶ Ἄκρων ἐκάρυξε, καὶ
τὰν νεοικον ἔδραν.

ἀντιστροφὴ ά. κώλων ιθ'.

Ἰκὼν δ' Οἰνομάου καὶ
Πέλοπος παρ' εὐηράτων
σταθμῶν, ὦ πολι-
ούχε Παλλὰς, ἀεί-
δει μὶν ἄλσος ἀγνὸν
τὸ τεὸν, πολιάμόν τε † Ὤανὸν, ἐγ-
χωρίαν τε λίμναν,
καὶ σεμνὸς ὀχεὺς, Ἵπ-
παρις οἷσιν ἄρδει σταλὸν,

* Βωμὸς ἓξ] Οἱ νικῶντες ἔθυον ἐν τοῖς ἓξ βωμοῖς. Ἡρόδοτός φησι τὸν Ἡρακλέα ἐν Ὀλυμπίᾳ ἱδρύσασθαι δώδεκα θεῶν ἀγάλματα· συμβώμους δὲ αὐτὸς ποιῆσαι ἓξ βωμοὺς κατασκευάσας. *Schol.*

† *Oanus fluvius Siciliæ prope Camarinam; ut et Hipparis, qui oritur in nemoroso quodam monte, ubi ligna secant Camarinæi ad ædificia, et inde per flumen in urbem deportant.* Benedict. *ex* Sch.

κολλᾷ

κολλᾷ τε ϛαδί-
ων θαλάμων ταχέως
ὑψίγυιον ἅλσος,
ἀπ' ἀμηχανίας ἄγων ἐς φάος
τόνδε δᾶμον ἀϛῶν.
Αἰεὶ δ' ἀμφ' ἀρεΐαισι πόνος δαπά-
να τε μάρναται πρὸς
ἔργον κινδύνῳ κεκαλυμμένον.
Εὖ δὲ ἔχονΐες, σοφοὶ καὶ πολί-
ταις ἔδοξαν ἔμμεν.

ἐπῳδὸς κώλων ιθ'.

Σωτὴρ ὑψινεφὲς Ζεῦ,
Κρονίου τε ναίων λόφον,
τιμῶν τ' Ἀλφεὸν
εὐρύ ῥεόνΐα Ἰδαῖ-
όν τε σεμνὸν ἄντρον,
ἱκέτας σέθεν ἔρχομαι, Λυδίοις
ἀπύων ἐν αὐλοῖς,
αἰτήσων πόλιν εὐα-
νορίαισι τάνδε κλυΐαῖς
δαιδάλλειν· σέ τ', Ὀ-
λυμπίονικε, Ποσει-
δανίοισιν ἵπποις
ἐπιΐερπόμενον, φέρειν γῆρας εὔ-
θυμον ἐς τελευτὰν,
υἱῶν, Ψαῦμι, παριϛαμένων. Ὑγί-
εντα δ' εἴ τις ὄλβον

 ἄρδει,

ἄρδει, ἐξαρκέων κτεάτεσσι, καὶ
εὐλογίαν προςιθεὶς· μὴ ματεύ-
σῃ Θεὸς γενέσθαι.

ΠΙΝΔ. ΟΛ. ΕΙΔ. ΙΒ'.

ἘΡΓΟΤΕ'ΛΕΙ * Ἱμεραίῳ ΔΟΛΙΧΟΔΡΟΜΩι.

Ergotelem Philanoris filium laudat à triplici victoriâ nimirum Olympicâ, quam septuagesimâ septimâ Olympiade obtinuit: Pythiacâ, quam vigesimâ nona Pythiade repertavit: et Isthmiacâ.

ςροφὴ ά κώλων θ'.

Λ Ἱ'σσομαι, παῖ Ζηνός ἐλευθερίου,
Ἱμέρᾳ εὐρυσθενέ' ἀμ-
φὶ πόλει, σώτειρα Τύχα.
Τὶν γὰρ ἐν πόντῳ κυβερνῶνται θοαὶ
νᾶες, ἐν χέρσῳ τὲ λαιψηροὶ πόλεμοι,
κἀγοραὶ βουλαφόροι· Αἵ γε μὲν ἀνδρῶν
πόλλ' ἄνω, ταὶ δ' αὖ κάτω

* *Ergoteles, etsi Cretensis esset, tamen Himeræus Siculus appellatur; cujas etiam post victoriam Olympicam fuit proclamatus. Sæpe enim fiebat, ut victores non ex patriâ, in quâ scilicet nati fuerant, se proclamari vellent; sed ex illâ Regione, in quâ deinceps sibi vivendum putârint: præsertim si a civibus injuriâ insigni affecti, victoriæ suæ gloriam cum illis participare nollent, ita quodammodo injuriam ulcisci vellent. Id vero Ergoteli accidit, uti Pausan. scribit; et ex textu Pindarico ostendit Scholiastes.* Ex not. Oxon.

ψεύδη

ψεύδη μεταμώνια τέμνοι-
σαι, κυλίνδοντ' ἐλπίδες.

ἀντιστροφὴ ά. κώλων θ'.

Σύμβολον δ' οὔπω τὶς ἐπιχθονίων
πιστόν, ἀμφὶ πράξιος ἐσ-
σομένας εὗρεν θεόθεν·
Τῶν δὲ μελλόντων τετύφλωνται φράδαι.
Πολλὰ δ' ἀνθρώποις παρὰ γνώμαν ἔπεσεν,
ἔμπαλιν μὲν τέρψιος. Οἳ δ' ἀνιαραῖς
ἀντικύρσαντες ζάλαις,
ἐσθλὸν βαθὺ πήματος ἐν μι-
κρῷ πεδάμειψαν χρόνῳ.

ἐπῳδὸς ά. κώλων ί.

Ὑιὲ Φιλάνορος, ἤτοι καὶ τεά κεν,
ἐνδομάχας ἅτ' ἀλέκτωρ,
συγγόνῳ παρ' ἑστίᾳ
ἀκλεὴς τιμὰ κατεφυλλορόησε ποδῶν·
εἰ μὴ στάσις ἀντιάνειρα
Κνωσίας ἄμερσε πάτρας.
Νῦν δ' Ὀλυμπίᾳ στεφανωσάμενος,
καὶ δὶς ἐν Πυθῶνι, Ἰσθμοῖ τ', Ἐργότελες,
θερμὰ * νυμφᾶν λουτρὰ βαστάζεις, ὁμιλέ-
ων † παρ' οἰκείαις ἀρούραις.

* Νυμφᾶν λουτρὰ] Τὰ θερμὰ ὕδατα τῶν Νυμφῶν ἐν τῇ Ἱμέρᾳ ὑψοῖς καὶ ἐπαίρεις τῇ δόξῃ. *Schol.*

† Παρ' οἰκείας] Ὡς ἐν ἰδίᾳ γῇ παροικῶν. *Schol.*

ΠΙΝΔ. ΟΛ. ΕΙΔ. ΙΔ'.

Ἀσωπίχῳ ΟΡΧΟΜΕΝΙΩι Παιδὶ ΣΤΑΔΙΕΙ.

Εἶδος μονοστροφικόν.

Laudatur Asopichus Orchomenius, Cleodami filius, a victoriâ Olympicâ, et a patriâ: Interim quia Charites Orchomeni coluntur, ipsis hymnum hunc poëta commendat: easque suis a proprietatibus eleganter celebrat.

στροφὴ ἀ. κώλων ιή.

Κ Ἀφησίων ὑδάτων λαχοῖσαι αἵ τε ναίετε καλλίπωλον ἔδραν, ὦ λιπαρᾶς ἀοίδιμοι βασίλειαι Χάριτες Ὀρχομενὸς, παλαιγόνων Μινυᾶν ἐπίσκοποι, κλῦτ', ἐπεὶ εὔχομαι. Σὺν γὰρ ὑμῖν τὰ τερπνὰ καὶ τὰ γλυκέα γίνεται πάντα βροτοῖς· εἰ σοφὸς, εἰ καλὸς, εἴ τις ἀγλαὸς ἀνήρ. Οὔτε γὰρ θεοὶ σεμναῖν Χαρίταν ἄτερ χοιρανέοντι χορεὺς, οὔτε δαῖτας· ἀλλὰ πάντων ταμίαι ἔργων ἐν ἐρανῷ, χρυσότοξον θέμεναι παρὰ Πύθιον Ἀπόλλωνα θρόνους,

ἄέναον

ἄέναον σέβοντι πατρὸς
Ὀλυμπίοιο τιμάν.

στροφὴ Γ'. κώλων ιζ'.

Πότνι' Ἀγλαΐα φιλησίμολπέ
τ' Εὐφροσύνα, θεῶν κρατίστᾳ παῖδες,
ἐπάκουοι νῦν· Θαλία τὲ ἐ-
ρασίμολπε, ἰδοῖσα τόνδε
κῶμον ἐπ' εὐμενεῖ τύχᾳ
κῆφα βιβῶντα. Λυδίῳ γὰρ
Ἀσώπιχον ἐν τρόπῳ,
ἐν μελέταις τὲ ἀείδων,
μόλον· ἕνεκ' Ὀλυμπιόνικος ἁ Μινύεια
σεῦ ἕκατι· μελανειχέα δόμον
Φερσεφόνας ἴθι, Ἀχοΐ,
πατρὶ κλυτὰν φέροισ' ἀγ-
γελίαν, Κλεόδαμον ὄφρα ἰδοῖσ', υἱ-
ὸν εἴπῃς, ὅτι οἱ νέαν
κόλποισι παρ' εὐδόξοιο Πίσας,
ἐξεφάνωσε κυδίμων ἀέθλων
πτεροῖσι χαίταν.

εἶδος

Digitized by Google

ΠΙΝΔΑΡΟΥ ΠΥΘΙΟΝ.

εἶδος ά.

Ἱέρωνι Αἰτναίῳ ΣΥΡΑΚΟΥΣΙΩι, Ἅρματι.

Hiero Syracusanus tyrannus, in quem est et primum Olympiorum encomium, primo hoc Pythiorum carmine commendatur a victoriâ, liberis, patriâ, vitâ honestâ, aliisque virtutibus. Præter quas Hieronis laudes, citharæ Musicesque commendationem addit: et pro suo more fabulas, historias, sententias per digressionem interserit.

στροφὴ ά. κώλων ιϚ.

ΧΡΥΣΕΑ φόρμιγξ, Ἀπόλλωνος καὶ ἰοπλοκάμων
σύνδικον Μοισᾶν κτέανον·
Τᾶς ἀκτὶ μὲν βάσις, ἀγλαΐας ἀρχά,
πείθονται δ' ἀοιδοὶ σάμασιν,
ἀγησιχόρων ὁπόταν τῶν φροιμίων
ἀμβολὰς τεύχῃς ἐλελιζομένα·
καὶ τὸν αἰχματὰν κεραυνὸν σβεννύεις
ἀενάου πυρός. Εὕ-
δει δ' ἀνὰ σκάπτῳ Διὸς αἰετὸς, ὠ-
κεῖαν πτέρυγ' ἀμφοτέρῳ-
θεν χαλάξαις,

ἀντιστροφὴ ά. κώλων ιϚ.

ἀρχὸς οἰωνῶν· κελαινῶ-
πιν δ' ἐπί οἱ νεφέλαν

ἀγκύλῳ

ἀγκύλῳ κρατὶ, βλεφάρων
ἁδὺ κλαΐςρον, κατέχευας. Ὁ δὲ κνώσσων
ὑγρὸν νῶτων αἰωρεῖ, τεαῖς
ῥιπαῖσι κατασχόμενος. Καὶ γὰρ βια-
τὰς Ἄρης, τραχεῖαν ἄνευθε λιπὼν
ἐγχέων ἀκμὰν, ἰαίνει καρδίαν
κώματι· κῆλα δὲ καὶ
δαιμόνων θέλγει φρένας, ἀμφί τε Λα-
τοΐδα σοφίᾳ βαθυκόλ-
πων τὲ Μοισᾶν.

ἐπῳδὸς α'. κώλων ιε'.

Ὄσσα δὲ μὴ πεφίληκε
Ζεὺς, ἀτύζονται βοὰν
Πιερίδων ἀΐοντα,
γᾶν τε καὶ πόντον κατ' ἀμαιμάκετον·
ὅς τ' ἐν αἰτᾷ Ταρτάρῳ κεῖ-
ται, θεῶν πολέμιος,
Τυφὼς ἑκατοντακάρανος· τὸν ποτε
Κιλίκιον θρέψεν πολυώ-
νυμον ἄντρον· νῦν γε μὰν
ταί θ' ὑπὲρ Κύμας ἁλιερκέες ὄχθαι
Σικελία τ' αὐτοῦ πιέζει
ςέρνα λαχνάεντα· κίων
δ' οὐρανία συνέχει,
νιφόεσσ' Αἴτνα, πάνετες
χιόνος ὀξείας τιθήνα·

ςροφὴ

στροφὴ Β'. κώλων ιϐ'.

τᾶς ἐρεύγονται μὲν ἀπλά-
τῳ πυρὸς ἀγνόταται
ἐκ μυχῶν πάγαι ποταμοὶ
δ' ἀμέραισιν μὲν προχέονται ῥόον καπνῷ
αἴθων· ἀλλ' ἐν ὄρφναισιν πέτρας
φοίνισσα κυλινδομένα φλὸξ ἐς βαθεῖ-
αν φέρει πόντῳ πλάκα σὺν πάλαγῳ.
Κεῖνο δ' Ἀφαίστοιο κρυνὲς ἑρπετὸν
δεινοτάτᾳς ἀναπέμ-
πει· τέρας μὲν θαυμάσιον προσιδέ-
σθαι· θαῦμα δὲ καὶ παριόν-
των ἀκοῦσαι,

ἀντιστροφὴ Β'. κώλων ιϐ'.

οἷον Αἴτνας ἐν μελαμφύλ-
λοις δέδεται κορυφαῖς,
καὶ πέδῳ· στρωμνὰ δὲ χαράσ-
σοισ' ἅπαν νῶτον πολικεκλιμένον κεντεῖ,
Εἴη, Ζεῦ, τὶν εἴη ἀνδάνειν,
ὃς τᾶτ' ἐφέπεις ὄρος, εὐκάρποιο γαί-
ας μέτωπον, τᾷ μὲν ἐπωνυμίαν
κλεινὸς οἰκιστὴρ ἐκύδανεν πόλιν
γείτονα· Πυθιάδος
δ' ἐν δρόμῳ κάρυξ ἀνέειπέ νιν, ἀγ-
γέλλων Ἱέρωνος ὕπερ
καλλινίκᾳ

ἐπῳδὸς

ἐπῳδὸς ϛ'. κώλων ιέ.

ἅρμασι. Ναυσιφορήτοις
δ' ἀνδράσι πρῶτα χάρις
ἐς πλόον ἐρχομένοις, πομ-
παῖον ἐλθεῖν ὄρον· ἐοικότα γὰρ
κἀν τελευτᾷ φερτέρου νό- return
ςου τυχεῖν· Ὁ δὲ λόγος
ταύταις ἐπὶ συντυχίαις δόξαν φέρει,
λοιπὸν ἔσσεσθαι ςεφάνοι-
σιν ἵπποισίν τε κλυτὰν,
καὶ σὺν εὐφώνοις θαλίαις ὀνομαςάν.
Λύκιε, καὶ Δάλοι ἀνάσσων
Φοῖϐε, Παρνασῶ τε κράναν
Καςαλίαν φιλέων,
ἐθελήσαις ταῦτα νόῳ
τιθέμεν, εὔανδρόν τε χώραν.

ςροφὴ γ'. κώλων ιϐ.

Ἐκ θεῶν γὰρ μαχαναὶ πᾶ-
σαι βροτέαις ἀρεταῖς,
καὶ σοφοὶ καὶ χερσὶ βια-
ταὶ περίγλωσσοί τ' ἔφυν· ἄνδρα δ' ἐγὼ κεῖνον
αἰνῆσαι μενοινῶν, ἔλπομαι
μὴ χαλκοπάραον ἄκονθ' ὡσεί τ' ἀγῶ-
νος βαλεῖν ἔξω παλάμᾳ δονέων,
μακρὰ δ' ἐκρίψαις ἀμεύσασθ' ἀντίους.

Εἰ γὰρ ὁ πᾶς χρόνος ὄλ-
βον μὲν ὕτω καὶ κτεάνων δόσιν εὐ-
θύνοι, καμάτων δ' ἐπίλα-
σιν παράσχοι·

ἀντιστροφὴ γ'. κώλων ιβ'.

ἦ κεν ἀμμνάσειεν, οἵαις
ἐν πολέμοισι μάχαις
τλάμονι ψυχᾷ παρέμει-
ν', ἀνίχ' * εὑρίσκοντο θεῶν παλάμαις τιμὰν,
οἵαν ὕτις Ἑλλάνων δρέπει,
πλοῦτου στεφάναμ' ἀγέρωχον. † Νῦν γε μὰν
τὰν Φιλοκτήταο δίκαν ἐφέπων,
ἐστρατεύθη. Σὺν δ' ἀνάγκᾳ μιν φίλον
καί τις ‡ ἐὼν μεγαλά-
νωρ ἔσανεν. Φαντὶ δὲ Λαμνόθεν ἕλ-
κει τειρόμενον μεταλλάσ-
σοντας ἐλθεῖν

ἐπῳδὸς γ'. κώλων ιέ.

ἥρωας ἀντιθέους Ποί-
αντος υἱὸν τοξόταν·

* Ὁ μὲν λόγος ἐστι περὶ Ἱέρωνος καὶ Γέλωνος, τῶν τυραννησάντων ἐν Συρακοσίαις. *Schol.*

† Νῦν γε μὰν] Φορείῳ δὲ Φερόμενος ὁ Ἱέρων διὰ τὴν λιθουρίαν κατηγωνίζετο τοὺς ἐναντίους. *Schol.*

‡ Καὶ τις ἐὼν] Ἀναξίλαος, ὁ τῶν Ῥηγίνων βασιλεὺς Λόκρους ἠθέλησεν ἄρδην ἀπολέσαι, καὶ ἐκωλύθη πρὸς Ἱέρωνος. *Schol.*

ὃς

ὃς Πριάμοιο πόλιν πέρ-
σεν, τελεύτασέν τε πόνους Δαναοῖς,
ἀσθενεῖ μὲν χρωτὶ βαίνων·
ἀλλὰ μοιριδίου ἦν.
Οὕτω δ' Ἱέρωνι Θεὸς ὀρθωτὴρ πέλοι
τὸν προσέρποντα χρόνον, ὧν
ἔραται, καιρὸν διδούς.
Μοῖσα, καὶ πὰρ Δεινομένει κελαδῆσαι
πείθεό μοι ποιναν τεθρίππων.
Χάρμα δ' ἐκ ἀλλοτριον νι-
καφορία πατέρος.
Ἄγ', ἔπειτ' Αἴτνᾳ βασιλεῖ
φίλιον ἐξεύρωμεν ὕμνον.

στροφὴ δ'. κώλων ιϛ'.

Τῷ * πόλιν κείναν θεοδμά-
του σὺν ἐλευθερίᾳ
† Ὑλλίδος σάθμας Ἱέρων
ἐν νόμοις ἔκτισσε. Θέλοντι δὲ ‡ Παμφύλῳ

* Πόλιν κείναν] Ἀνακλίσας τὴν Κατάνην ὁ Ἱέρων καὶ Αἴτνην μετονομάσας, διοικεῖν Δεινομένει τῷ υἱῷ ταύτην δέδωκεν ἐν νόμοις τῆς Δωρίδος σάθμης, ἐλευθέρως ἀφεὶς τὰς Αἰτναίους καὶ τοῖς Λακωνικοῖς τρόποις χρωμένους. *Schol.*

† Ὑλλίδος σάθμας] Τῆς Δωρίδος, ἀπὸ Ὕλλου τοῦ ἐπιφανεστάτου τῶν Δωριέων, ὁ ἐβασίλευσε τῶν περὶ Ἰταλίαν οἰκησάντων. Ὁ δὲν Ἱέρων Γελῴος, καὶ Μεγαρεὶς, καὶ Συρακουσίους, ὄντας τῶν Δωριέων ἀποίκους, ἐνώκησε τῇ Αἴτνῃ. *Schol.*

‡ Παμφύλῳ] Τουτέστιν οἱ Λακεδαιμόνιοι ἀπὸ Ἡρακλέους καὶ Παμφύλου. Πάμφυλος καὶ Δύμας καὶ Δῶρος υἱοὶ Αἰγιμιοῦ. *Schol.*

Digitized by Google

καὶ μὰν Ἡρακλειδᾶν ἔκγονοι,
ὄχθαις ὑπὸ Ταϋγέτᾳ ναίοντες, αἰ-
εὶ μένειν τεθμοῖσιν ἐν Αἰγιμιῷ
Δωριῆς. Ἔσχον δ' Ἀμύκλας ὄλβιοι,
Πινδόθεν ὁρνύμενοι,
Λευκοπώλων Τυνδαριδᾶν βαθύδο-
ξοι γείτονες, ὧν κλέος ἄν-
θησεν αἰχμᾶς.

ἀντιστροφὴ δ'. κώλων ιϛ'.

Ζεῦ, τέλει αἰεὶ δὲ τοιαύ-
την Ἀμένα παρ' ὕδωρ
αἶσαν, ἀγοῖς καὶ βασιλεῦ-
σιν, διακρίνειν ἔτυμον λόγον ἀνθρώπων.
Σύν τοι τίν κεν ἀγητὴρ ἀνὴρ,
υἱῷ τ' ἐπιλελλόμενος δαμόν τε γέ-
ρων τράποι σύμφωνον ἐφ' ἡσυχίαν.
Λίσσομαι, κεῦσον, Κρονίων, ἄμερον
ὄφρα κατ' οἶκον ὁ Φοί-
νιξ, ὁ Τυρσανῶν τ' ἀλαλατὸς ἔχῃ,
ναυσίζονον ὕβριν ἰδὼν,
τὰν πρὸ Κύμας

ἐπῳδὸς δ'. κώλων εἰ.

οἵα Συρακοσίων ἀρ-
χῶ δαμασθεῖσ' πάθον
ὠκυπόρων ἀπὸ ναῶν

ὅς

ὅς σφιν ἐν πόντῳ βάλεθ' ἁλικίαν,
* Ἑλλάδ' ἐξέλκων βαρείας
δουλείας. Αἱρέομαι
πὰρ μὲν Σαλαμῖνος Ἀθηναίων χάριν
μισθὸν· ἐν Σπάρτᾳ δ' ἐρέω
πρὸ Κιθαιρῶνος μάχαν·
ταῖσι Μῆδοι μέν κάμον ἀγκυλότοξοι.
πὰρ δέ γε τὰν εὔδρον ἀκτὰν
Ἱμέρα, παίδεσσιν ὕμνον
Δεινομένευς τελέσαις,
τὸν ἐδέξαντ' ἀμφ' ἀρετᾷ,
πολεμίων ἀνδρῶν καμόντων.

στροφὴ ε'. κώλων ιϛ'.

Καιρὸν εἰ φθέγξαιο, πολλῶν
πείρατα συντανύσαις
ἐν βραχεῖ· μείων ἕπεται
μῶμος ἀνθρώπων. Ἀπὸ γὰρ κόρος ἀμϐλύνει
αἰανὴς ταχείας † ἀπάδις.

* Ἑλλάδ' ἐξέλκων] Ἱστορεῖται τι τοιοῦτον, ὅτι Ξέρξου μέλλοντος στρατεύειν ἐπὶ τὴν Ἑλλάδα πρέσϐεις ἦλθον πρὸς Καρχηδονίους κελεύοντες πλεῖν ἐπὶ Σικελίαν, καὶ τοὺς τὰ τῶν Ἑλλήνων φρονοῦντας καταστρέφεσθαι, καὶ οὕτως ὁρμᾷν ἐπὶ τὴν Πελοπόννησον. Οἱ μὲν οὖν Καρχηδόνιοι ὑπήκουσαν. Κατὰ δὲ τὸν αὐτὸν χρόνον, πρὸς Ἱέρωνα πρέσϐεις ἦλθον παρ' Ἀθηναίων ἀξιοῦντες συμμαχεῖν τοῖς Ἕλλησιν. Ὧν ὑπήκουσαν οἱ περὶ τὸν Γέλωνα καὶ κατασκευασάμενοι διακοσίας ναῦς, καὶ δισχιλίους ἱππέας, καὶ μυρίους πεζοὺς, τὸν τῶν Καρχηδονίων στόλον κατεναυμάχησαν, κατὰ τῆς Σικελίας ὁρμῶντα· ὥστε τοὺς Σικελιώτας, καὶ τοὺς ἄλλους Ἕλληνας ἐλευθερῶσαι. *Schol.*

† Ἀπάδις] Ἀπάδις *Pindar. Lex. format ex* ἄπαδις, *in accusat. plural.* ἀπαδίας *et* κατὰ κράσιν ἀπάδις. *Cùm verò derivat* πραπίδας παρὰ

Ἐςῶν δ' ἀκοὰ κρύφιον θυμὸν βαρύ-
νει, μάλις ἐσλοῖσιν ἐπ' ἀλλοτρίοις.
Ἀλλ' ὅμως, κρέσσων γὰρ οἰκτιρμῶν φθόνος,
μὴ παρίει καλὰ· νώ-
μα δικαίῳ πηδαλίῳ ςρατόν, ἀ-
ψευδεῖ δὲ πρὸς ἄκμονι χάλ-
κευε γλῶσσαν.

ἀντιςροφὴ ε'. κώλων ιϛ'.

Εἴ τι καὶ φλαῦρον παραιθύσ-
σει, μέγα τοι φέρεται
πὰρ σέθεν. Πολλῶν ταμίας
ἐσσί· πολλοὶ μάρτυρες ἀμφοτέροις πιςοί.
Εὐανθεῖ δ' ἐν ὀργᾷ παρμένων,
εἴπέρ τι φιλεῖς ἀκοὰν ἀδεῖαν ἀ-
εὶ κλύειν, μὴ κάμνε λίαν δαπάναις·
ἐξίει δ' ὥσπερ κυβερνάτας ἀνὴρ
ἱςίον ἀνεμόεν.
Μὴ δολωθῇς, ὦ φίλε, εὐτραπέλοις
κέρδεσσ'. Ὀπισθόμβροτον αὔ-
χημα δόξας

παρὰ τὸ προαπιδεῖν, *ad eundem modum verisimili conjecturâ* ἄπαδις παρὰ τὸ ἀπὸ, γυτέστιν ἄπωθεν, ἰδεῖν. *Ut propriè secundum hoc Etymon* ἄπαδις *denotet vim animi, quâ futura prospicit. Hæc autem vox ex iis est, quæ vix aliàs leguntur, ideoque in conjecturis, quales congruum sensum fundant, permanendum est.* Ex not. Edit. Oxon.

ἰπῳδὸς

ἐπῳδὸς ἑ. κώλων ιέ.

οἷον ἀποιχομένων ἀν-
δρῶν δίαιταν μανύει
καὶ λογίοις καὶ ἀοιδοῖς.
Οὐ φθίνει Κροίσᾳ φιλόφρων ἀρετά.
Τὸν δὲ ταύρῳ χαλκέῳ καυ-
τῆρα, νηλέα νόον
ἐχθρὰ Φάλαριν κατέχει πάντᾶ φάτις·
ὐδέ μιν φόρμιγγες ὑπω-
ρόφιαι κοινωνίαν
μαλθακὰν παίδων ἀέροισι δέχονται.
Εὖ δὲ παθεῖν, τὸ πρῶτον ἄθλων·
εὖ δ' ἀκέειν, δευτέρα μοῖ-
ρ'. Ἀμφοτέροισι δ' ἀνὴρ
ὃς ἂν ἐγκύρσῃ, καὶ ἕλῃ,
ϛέφανον ὕψιζον δέδεκται.

Digitized by Google

Digitized by Google

Digitized by Google